# HOMEROCENTONES

## EVDOCIAE AVGVSTAE

Κέκλυτε, μυρία φῦλα περικτιόνων ⌜ἀνθρώπων⌝, i17.220†
ὅσσοι νῦν βροτοί εἰσιν ἐπὶ χθονὶ σῖτον ἔδοντες o8.222
ἠμὲν ὅσσοι ναίουσι πρὸς ἠῶ τ' ἠέλιόν τε o13.240
ἠδ' ὅσσοι μετόπισθε ποτὶ ζόφον ἠερόεντα o13.241
ὄφρ' εἴπω τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει *i8.6*
⌜ὡς⌝ εὖ γινώσκητ' ἠμὲν θεὸν ἠδὲ καὶ ἄνδρα, i5.128 *†
ὃς πᾶσι θνητοῖσι καὶ ἀθανατοῖσιν ἀνάσσων i12.242 *
ἐν μὲν γαῖαν ἔτευξ', ἐν δ' οὐρανόν, ἐν δὲ θάλασσαν, i18.483
ἠέλιόν τ' ἀκάμαντα σελήνην τε πλήθουσαν, i18.484
ἐν δὲ τὰ τείρεα πάντα, τά τ' οὐρανὸς ἐστεφάνωται, i18.485
Πληϊάδας θ' Ὑάδας τε τό τε σθένος Ὠρίωνος i18.486
Ἄρκτον θ', ἣν καὶ Ἄμαξαν ἐπίκλησιν καλέουσιν, i18.487
ἥ τ' αὐτοῦ στρέφεται καί τ' Ὠρίωνα δοκεύει, i18.488
ἰχθῦς ὄρνιθάς τε φίλας, ὅ τι χεῖρας ἵκοιτο o12.331 *
εἰναλίων τοῖσίν τε θαλάσσια ἔργα μέμηλεν o5.67 *
δελφῖνάς τε κύνας τε καὶ εἴ ποθι μεῖζον ⌜ἔνεστι⌝ o12.96†
κῆτος ἃ μυρία βόσκει ἀγάστονος Ἀμφιτρίτη, o12.97
ἵππους θ' ἡμιόνους τε βοῶν τ' ἴφθιμα κάρηνα, i23.260
ἄρκτους τ' ἀγροτέρους τε σύας χαροπούς τε λέοντας, o11.611 *
⌜πάντα κεν⌝ ὅσσα τε γαῖαν ἔπι πνείει τε καὶ ἕρπει, i17.447 *
τοῖσι δ' ὑπὸ χθὼν δῖα φύεν νεοθηλέα ποίην, i14.347 *
λωτόν θ' ἑρσήεντα ἰδὲ κρόκον ἠδ' ὑάκινθον, i14.348
ἀμφὶ δὲ λειμῶνας μαλακοὺς ἴου ἠδὲ σελίνου o5.72 *

**1** ἐπικούρων **6** ὄφρ' **16** ἕλῃσι **20** παντῶν

o4.604 * πυρούς τε ζειάς τε ἰδ' εὐρυφυὲς κρῖ λευκόν,
o4.458 * γίνετο δ' ὑγρὸν ὕδωρ καὶ δένδρεα ὑψιπέτηλα,
o7.115 ὄγχναι καὶ ῥοιαὶ καὶ μηλέαι ἀγλαόκαρποι
o7.116 συκέαι τε γλυκεραὶ καὶ ἐλαῖαι τηλεθόωσαι
o5.64 κλήθρη τ' αἴγειρός τε καὶ εὐώδης κυπάρισσος,
o6.124 * καὶ πηγὴ ποταμῶν καὶ πίσεα ποιήεντα.

*περὶ τῶν ἐν τῷ παραδείσῳ τεσσάρων ποταμῶν*

o5.70 κρῆναι δ' ἑξείης πίσυρες ῥέον ὕδατι λευκῷ,
o5.71 πλησίαι ἀλλήλων τετραμμέναι ἄλλυδις ἄλλη·
i16.389† τῶν δέ ⸢γε⸣ πάντες μὲν ποταμοὶ πλήθουσι ῥέοντες.

*περὶ τοῦ Ἀδὰμ καὶ τῆς Εὔας καὶ περὶ τῆς ἀπάτης τοῦ ὄφεως*

i23.536† + 107 λοῖσθος ἀνὴρ ⸢ὤριστο⸣· ἔϊκτο δὲ θέσκελον αὐτῷ.
i2.308 ἔνθ' ἐφάνη μέγα σῆμα· δράκων ἐπὶ νῶτα δαφοινός,
o12.119 * δεινός τ' ἀργαλεός τε καὶ ἄγριος οὐδὲ μαχητός,
i22.380@ ὃς κακὰ πόλλ' ⸢ἔρδεσκεν⸣, ὅσ' οὐ σύμπαντες οἱ ἄλλοι,
i14.217 * ⸢παρφασίῃ⸣ τ' ἔκλεψε νόον πύκα περ φρονεόντων.
i9.546 τόσσος ἔην, πολλοὺς δὲ πυρῆς ἐπέβησ' ἀλεγεινῆς.
o10.105 * κούρῃ δὲ ξύμβλητο πρὸ ἄστεος ὑδρευούσῃ.
o6.148 αὐτίκα μειλίχιον καὶ κερδαλέον φάτο μῦθον,
o19.545 φωνῇ τε βροτέῃ κατερήτυε φώνησέν τε·
i7.28† "⸢ἦ ῥά νύ⸣ μοί τι πίθοιο, τό κεν πολὺ κέρδιον εἴη,
i14.191 ἦέ κεν ἀρνήσαιο, κοτεσσαμένη τό γε θυμῷ;
o11.146@ ῥηΐδιόν ⸢τοι⸣ ἔπος ἐρέω καὶ ἐνὶ φρεσὶ θήσω.
i10.324 σοὶ δ' ἐγὼ οὐχ ἅλιος σκοπὸς ἔσσομαι, οὐδ' ἀπὸ δόξης.
o19.269 * ⸢νημερτὲς⸣ γάρ τοι μυθήσομαι οὐδ' ἐπικεύσω.

26 ὄχναι Iv 27 συκαῖ Iv 28 κλείθρη Iv 32 τε 33 ὥριστος 36 ἔρρεξεν 37 πάρφασις ἥ 42 ἀλλ' εἴ 44 τι 46 νημερτέως

τῇ περ ῥηΐστη βιοτὴ πέλει ἀνθρώποισιν o4.565
οὐ νιφετός, οὔτ' ἂρ χειμὼν πολὺς οὔτε ποτ' ὄμβρος o4.566
ἀλλ' αἰεὶ ζεφύροιο λιγὺ πνείοντος ⸢ἀῆται⸣ o4.567 * @
παντοίην εὔπρηστον ἀϋτμὴν ἐξανιεῖσιν. i18.471 *
οὔτε φυτεύουσιν χερσὶν φυτὸν οὔτ' ἀρόωσιν, o9.108
ἀλλὰ τά γ' ἄσπαρτα καὶ ἀνήροτα πάντα φύονται. o9.109
πείνη δ' οὔ ποτε δῆμον ἐσέρχεται, οὐδέ τις ἄλλη o15.407
νοῦσος ἐπὶ στυγερὴ πέλεται δειλοῖσι βροτοῖσιν. o15.408
ἔνθα δὲ δένδρεα ⸢καλὰ πεφύκει⸣ τηλεθόωντα o7.114@
συκέαι τε γλυκεραὶ καὶ ἐλαῖαι τηλεθόωσαι, o7.116
ἄλλα τε πόλλ' ἐπὶ ⸢τοῖσι⸣· σὺ δ' ἵλαον ἔνθεο θυμόν. i9.639 * @
τάων οὔ ποτε καρπὸς ἀπόλλυται οὐδ' ἀπολείπει. o7.117
τῶν εἴ πως σὺ δύναιο λοχησαμένη ⸢γε λαβέσθαι⸣ o4.388 * @
πρῶτον, ἔπειτα δὲ καὐτὴ ὀνήσεαι, αἴ κε ⸢φάγῃσθα⸣ i6.260 * †
θήσει τ' ἀθάνατον καὶ ⸢ἀγήραον⸣ ἤματα πάντα *o5.136* * @
ἄνδρα τε καὶ οἶκον καὶ ὁμοφροσύνην ὀπάσειεν o6.181 *
ἐσθλήν· οὐ μὲν γὰρ ⸢τοῦδε⸣ κρεῖσσον καὶ ἄρειον o6.182†
ἢ ὅθ' ὁμοφρονέοντε νοήμασιν οἶκον ἔχητον o6.183
ἀνὴρ ἠδὲ γυνή, πόλλ' ἄλγεα δυσμενέεσσι, o6.184
χάρματα δ' εὐμενέτῃσι·" μάλιστα δέ τ' ἔκλυον αὐτοῦ. o6.185 *
῝Ως εἰπὼν ⸢παρέπεισεν⸣, ἐπεὶ διαεπέφραδε πάντα. i20.340†

*περὶ τῆς παρακοῆς*

οἶσθα γὰρ οἷος θυμὸς ἐνὶ στήθεσσι γυναικός. o15.20
τὴν δ' ἄτην οὐ πρόσθεν ἑῷ ἐγκάτθετο θυμῷ o23.223
λυγρήν, ἐξ ἧς πρῶτα καὶ ἡμᾶς ἵκετο πένθος o23.224
ἢ λάθετ' ἢ οὐκ ἐνοησεν· ἀάσατο δὲ μέγα θυμῷ. i9.537
αὐτίκα δ' ἥ γ' ἐπέεσσι πόσιν ἐρέεινεν ἕκαστα o4.137
λισσομένη δειπνῆσαι· ὁ δ' ἠρνεῖτο στοναχίζων· i19.304 *

**55** μακρὰ πεφύκασι **56** συκαῖ Iv **57** τῇσι **59** λελαβέσθαι **60** πίῃσθα **61** ἀγήρων **63** τοῦ γε **67** λίπεν αὐτόθ' **69 a** et **69 b** om. Steph

i5.818 * † ἀλλ' ἔτι ⸢που⸣ μέμνητο ἐφετμέων, ἃς ἐπέτελλεν,
i12.242 ὃς πᾶσι θνητοῖσι καὶ ἀθανάτοισιν ἀνάσσει.
o1.56 † ⸢ἡ δ' αἰεὶ⸣ μαλακοῖσι καὶ αἱμυλίοισι λόγοισι
i10.391 * † πολλῇσίν τ' ἄτῃσι παρὲκ νόον ἤγαγεν ⸢ἀνδρὸς⸣
i19.231 † μεμνῆσθαι πόσιος καὶ ἐδητύος ⸢ὅττι τάχιστα⸣
o24.200 κουρίδιον κτείνασα πόσιν, στυγερὴ δέ τ' ἀοιδὴ
o24.201 ἔσσετ' ἐπ' ἀνθρώπους, χαλεπὴν δέ τε φῆμιν ὄπασσεν
o24.202 θηλυτέρῃσι γυναιξί, καὶ ἥ κ' εὐεργὸς ἔῃσιν,
o24.84 * τῶν αἳ νῦν γεγάασι, καὶ αἳ μετόπισθεν ἔσονται.
o11.427 ὣς οὐκ αἰνότερον καὶ κύντερον ἄλλο γυναικὸς
o11.428 ἥ τις δὴ τοιαῦτα μετὰ φρεσὶ ἔργα βάληται.
o11.429 οἷον δὴ καὶ κείνη ἐμήσατο ἔργον ἀεικές,
o11.272 ἣ μεγὰ ἔργον ἔρεξεν ἀϊδρείῃσι νόοιο
*o17.287* † οὐλομένη, ἣ πολλὰ κάκ' ἀνθρώποισιν ⸢ἔθηκε⸣,
i1.3 πολλὰς δ' ἰφθίμους ψυχὰς Ἄϊδι προΐαψεν,
i21.524 πᾶσι δ' ἔθηκε πόνον, πολλοῖσι δὲ κήδε' ἐφῆκεν.

*περὶ τῆς οἰκονομίας τῆς τῶν ἀνθρώπων σωτηρίας*

i6.16 † ἀλλά ⸢γε⸣ οὔ τις τῶν γε τότ' ἤρκεσε λυγρὸν ὄλεθρον·
o1.7 αὐτῶν γὰρ σφετέρῃσιν ἀτασθαλίῃσιν ὄλοντο.
o4.444 * ἀλλ' αὐτός γ' ἐσάωσε καὶ ἐφράσατο μέγ' ὄνειαρ
i12.242 ὃς πᾶσι θνητοῖσι καὶ ἀθανάτοισι ἀνάσσει,
o7.170 † υἱὸν ἀναστήσας ἀγαπήνορα ⸢λαομέδοντα⸣
i1.70 ὃς ᾔδη τά τ' ἐόντα τά τ' ἐσσόμενα πρό τ' ἐόντα
o14.177 @ † πατρὸς ἑοῖο φίλοιο, ⸢φρένας⸣ τε καὶ εἶδος ⸢ὁμοῖος⸣
o7.171 ὅς οἱ πλησίον ἷζε, μάλιστα δέ μιν φίλεεσκεν
i16.192 ἀμφαγαπαζόμενος ὡς εἴ θ' ἑὸν υἱὸν ἐόντα.

**72** σεῶν **74** αἰεὶ δὲ **75** Ἕκτωρ **76** ὄφρ' ἔτι μᾶλλον **83** κἀκείνη Ιν **84** ἀϊδρΐησι (p. c.) Ιν **85** δίδωσι **88** οἱ **92** Λαοδάμαντα **93** ᾔδει Ιν **94** δέμας ... ἀγητόν (sine τε)

*περὶ τῆς τοῦ πατρὸς συμβουλίας*

καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα· *i 1.201*
"ἦ ῥά νύ μοί τι πίθοιο, φίλον τέκος, ὅττι κεν εἴπω; i 14.190
οὐ γάρ τις νόον ⸢ἄλλον⸣ ἀμείνονα τοῦδε νοήσει, i 9.104 @
οἷον ἐγὼ νοέω, ἠμὲν πάλαι ἠδ' ἔτι καὶ νῦν. i 9.105
οἶδα γὰρ ὥς τοι θυμὸς ἐνὶ στήθεσσι φίλοισιν i 4.360
ἤπια δήνεα οἶδε· τὰ γὰρ φρονέεις ἅ τ' ἐγώ περ. i 4.361
102a τῷ τοι προφρονέως ἐρέω ἔπος οὐδ' ἐπικεύσω· i 5.816
οὐχ ὁράᾳς ὅτι δ' αὖτε βροτοὶ ἐπ' ἀπείρονα γαῖαν i 7.448 + 446 *
ἡμέας ὑβρίζοντες, ἀτάσθαλα μηχανόωνται, i 11.695 *
βοῦς ἱερεύοντες καὶ ὄϊς καὶ πίονας αἶγας; o 2.56
οὐκέτ' ἔπειτ' ἐθέλουσιν ⸢ἐναίσιμα⸣ ἐργάζεσθαι. o 17.321 †
οὐ γάρ ⸢τοι⸣ γλυκύθυμος ἀνὴρ ἦν οὐδ' ἀγανόφρων. i 20.467 †
⸢οὔ⸣ τις ἔτι πρόφρων ἀγανὸς καὶ ἤπιος ἔστιν o 2.230 * †
σκηπτοῦχος βασιλεύς, ⸢οὐδὲ⸣ φρεσὶν αἴσιμα εἰδώς, o 2.231 †
ἀλλ' αἰεὶ χαλεπός τ' εἴη, καὶ αἴσυλα ῥέζοι. o 2.232
λαοὶ δ' οὐκέτι πάμπαν ἐφ' ἡμῖν ἦρα φέρουσιν. o 16.375
ψεύδοντ', οὐδ' ἐθέλουσιν ἀληθέα μυθήσασθαι. o 14.125
οὔ τινα γὰρ τίεσκον ἐπιχθονίων ἀνθρώπων, o 22.414
οὐ κακὸν οὐδὲ μὲν ἐσθλόν, ὅτις σφέας εἰσαφίκοιτο. o 22.415
οὐ γὰρ ξείνους οἵδε μάλ' ἀνθρώπους ἀνέχονται. o 7.32
ἐκ γάρ τοι τούτων φάτις ἀνθρώπους ἀναβαίνοι o 6.29 *
ἐσθλή, χαίρουσιν δὲ πατὴρ καὶ πότνια μήτηρ. o 6.30
οὐδ' ἀγαπαζόμενοι φιλέουσ', ὅς κ' ἄλλοθεν ἔλθῃ. o 7.33
αἰεὶ ⸢τοῖσιν⸣ δαίς τε φίλη κίθαρίς τε χοροί τε, o 8.248 *
εἵματά τ' ἐξημοιβὰ λοετρά τε θερμὰ καὶ εὐναί. o 8.249
πάντες δ' εὐχετόωντο κελαινεφέϊ Κρονίωνι, i 11.761 + 1.397
τοὺς θ' ὑποταρταρίοις, οἳ Τιτῆνες καλέονται i 14.279 *
⸢σχέτλιοι⸣, οὔτε δίκας εὖ εἰδότες οὔτε θέμιστας. o 9.215 * †

**99** ἄλλος **102 a** om. Steph. **106** ἐναίσιμα Steph, Hom, : αἰνέσιμα Iv **107** τί **108** μή **109** μηδὲ ἐφ' ἡμῖν ἐπίηρα Iv **123** ἄγριον

i9.593 ἄνδρας μὲν κτείνουσι, πόλιν δέ τε πῦρ ἀμαθύνει
i9.594 τέκνα δέ τ' ἄλλοι ἄγουσι βαθυζώνους τε γυναῖκας,
i24.262 ἀρνῶν ἠδ' ἐρίφων ἐπιδήμιοι ἁρπακτῆρες.
o9.112 τοῖσιν δ' οὔτ' ἀγοραὶ βουληφόροι οὔτε θέμιστες.
o2.283 οὐδέ τι ἴσασιν θάνατον καὶ κῆρα μέλαιναν,
o11.15 ἠέρι καὶ νεφέλῃ κεκαλυμμένοι· οὐδέ ποτ' αὐτοὺς
o19.201 εἴα ἵστασθαι. χαλεπὸς δέ τις ὤρορε δαίμων
i6.115 δαίμοσιν ἀρήσασθαι, ὑποσχέσθαι δ' ἑκατόμβας.
i1.573 ἦ δὴ λοίγια ἔργα τάδ' ἔσσεται οὐδ' ἔτ' ἀνεκτά.
o5.219 ἀλλὰ καὶ ὥς ἐθέλω καὶ ἐέλδομαι ἤματα πάντα
i15.141 πάντων ἀνθρώπων ῥῦσθαι γενεήν τε τόκον τε,
i20.303 ὄφρα μὴ ἄσπερμος γενεὴ καὶ ἄφαντος ὄληται.
i2.179@ ἀλλ' ἴθι νῦν ⸢μετὰ⸣ λαὸν Ἀχαιῶν, μηδ' ἔτ' ἐρώει
i11.184 + 17.425 οὐρανόθεν καταβὰς ⸢ἐξ⸣ αἰθέρος ἀτρυγέτοιο.
*i2.164@* ⸢σοῖσ δ'⸣ ἀγανοῖς ἐπέεσσιν ἐρήτυε φῶτα ἕκαστον.
i19.178 καὶ δὲ σοὶ αὐτῷ θυμὸς ἐνὶ φρεσὶν ἵλαος ἔστω.
i16.84 ὡς ἄν μοι τιμὴν μεγάλην καὶ κῦδος ἄρηαι,
*i3.287* ἥ τε καὶ ἐσσομένοισι μετ' ἀνθρώποισι πέληται.
o1.305 σοὶ δὲ αὐτῷ μελέτω, καὶ ἐμῶν ἐμπάζεο μύθων.
o2.367† ⸢εἰ⸣ δέ τοι αὐτίκ' ἰόντι κακὰ φράσσονται ὀπίσσω
*o4.823* + cf. i5.435 ἱέμενοι κτεῖναι, καὶ ἀπὸ κλυτὸν εὖχος ἀμέρσαι.
i24.771 * ἀλλὰ σὺ τούς γ' ἐπέεσσι παραιφάμενος κατέρυκε,
i24.772 σῇ τ' ἀγανοφροσύνῃ καὶ σοῖς ἀγανοῖς ἐπέεσσι.
i10.67 φθέγγεο δ' ᾗ κεν ἴῃσθα, καὶ ἐγρήγορθαι ἄνωχθι
i10.69 πάντας κυδαίνων· μηδὲ μεγαλίζεο θυμῷ.
*i8.37* ὡς μὴ πάντες ὄλωνται ὀδυσσαμένοιο τεοῖο.
o16.313 δῆθα γὰρ αὔτως εἴσῃ ἑκάστου πειρητίζων.
o17.363 * † γνοίης δ' οἵ τινές εἰσιν ⸢ἐναίσιμοι⸣ οἵ τ' ἀθέμιστοι,
o6.121 ἠε φιλόξεινοι, καί σφιν νόος ἐστὶ θεουδής.
o6.120 ἤ ῥ' οἵ γ' ὑβρισταί τε καὶ ἄγριοι οὐδὲ δίκαιοι

**136** κατὰ **137** δι' **138** σοῖς **143** οἱ ἴῃσθα Iv **151** ἐναίσιμοι Steph, Hom : αἰνέσιμοι Iv

ἡμὲν ὅπου τις νῶϊ τίει καὶ δείδιε θυμῷ, o16.306
ἠδ' ὅτις οὐκ ἀλέγει, σὲ δ' ἀτιμᾷ τοῖον ἐόντα. o16.307
ἐν δὲ σὺ τοῖσιν ἔπειτα πεφήσεαι οἷα μενοινᾷς. o22.217
καί κ' αἰδοιότερος καὶ φίλτερος ἀνδράσιν εἴης o11.360 *
αἴ κε θάνῃς καὶ ⌜μοῖραν⌝ ἀναπλήσῃς βιότοιο i4.170 @
ὧδε γὰρ ἡμέτερόν γε νόον τελέεσθαι ὀΐω. o22.215
ὃς δ' ἂν ἀμύνων αὐτὸς ἔῃ καὶ ἀμύμονα εἰδῇ, o19.332
αἶψα μεταστρέψειε νόον μετὰ σὸν καὶ ἐμὸν κῆρ. i15.52
καί οἱ πάντα γένοι το ὅσα φρεσὶν ᾗσι μενοινᾷ. o17.355
ὃς δέ κ' ἀνήνηται καί τε στερεῶς ἀποείπῃ i9.510
ἡμέας ἀμφοτέρους, μάλα εἰκέλω ἀλλήλοιϊν o19.384
ἴστω τοῦθ', ὅτι νῶϊν ἀνήκεστος χόλος ἔσται. i15.217
αἰεί τοι τούτῳ γε πόνος καὶ κήδε' ὀπίσσω i22.488
ἔσσοντ'· ἄλλοι γάρ οἱ ⌜ἀπουρήσουσιν⌝ ἀρούρας. i22.489 @
ἦμαρ δ' ὀρφανικὸν παναφήλικα παῖδα τίθησι. i22.490
ἀνδρῶν δ' εἴ πέρ τίς σε βίῃ καὶ κάρτεϊ εἴκων o13.143
οὔ τι τίει, σοὶ δ' ἐστὶ καὶ ἐξοπίσω τίσις αἰεί. o13.144
ἔκ τε καὶ ὀψὲ τελεῖς, σύν τε μεγάλῳ ἀποτίσεις. i4.161 *
γνώσετ' ἔπειθ' ὅσον εἰμὶ θεὸς κάρτιστος ἁπάντων, i8.17 * †
ὕβριν ἀγασσάμενος θυμαλγέα καὶ κακὰ ἔργα, o23.64
τῆσδ' ἀπάτης κοτέων· τὰ μὲν ἔσσεται οὐκ ἀτέλεστα. i4.168

*περὶ τῆς τοῦ υἱοῦ ὑπακοῆς*

τόνδ' ἀπαμειβόμενος προσεφώνεε φαίδιμος υἱὸς, *o14.401*
"οὐκ ἔστ' οὐδὲ ἔοικε τεὸν ἔπος ἀρνήσασθαι. i14.212 *
τοῖος ἐὼ οἷός ἐσσι. τὰ ⌜γὰρ⌝ φρονέεις ἅ τ' ἐγώ περ. o7.312 * †
νῦν δ' ἔτι καὶ μᾶλλον νοέω φρεσὶ τιμήσασθαι. i22.235
ὡς δὲ πατὴρ ὃν παῖδα φίλα φρονέων ἀγαπάζῃ o16.17
γινώσκω, φρονέω. τά γε δὴ νοέοντι κελεύεις. o16.136 *

**158** πότμον **172** κάρτιστος Steph, Hom : κράτιστος Iv **177** τε

o1.307† ⸢πάτερ, σύ⸣ μὲν ταῦτα φίλα φρονέων ἀγορεύεις
o1.308 ὥς τε πατὴρ ᾧ παιδί, καὶ οὔ ποτε λήσομαι αὐτῶν.
o18.228 αὐτὰρ ἐγὼ θυμῷ νοέω καὶ οἶδα ἕκαστα.
o23.174† ⸢ὦ πάτερ⸣, οὔτ' ἄρ τι μεγαλίζομαι οὔτ' ἀθερίζω
o23.175 οὔτε λίην ἄγαμαι, μάλα δ' εὖ οἶδ' οἷος ἔησθα.
i1.554 ἀλλὰ μάλ' εὔκηλος τὰ φράζεαι ἅσσ' ἐθέλῃσθα.
i2.361 * οὔ τοι ἀπόβλητον ἔπος ἔσσεται, ὅττι κεν εἴπῃς.
i15.509 ἡμῖν δ' οὔ τις τοῦδε νόος καὶ μῆτις ἀμείνων.
i3.41 * καί κε τὸ βουλοίμην, καί κεν πολὺ κέρδιον ⸢εἴη⸣
o16.107 τεθνάμεν ἢ τάδε γ' αἰὲν ἀεικέα ἔργ' ὁράασθαι,
i7.52† ⸢εἴπερ μοι καὶ⸣ μοῖρα θανεῖν καὶ πότμον ἐπισπεῖν
i23.96 πάντα μάλ' ἐκτελέω καὶ πείσομαι ὡς σὺ κελεύεις
o2.112 * † αὐτὸς ᾧ θυμῷ, εἰδῶσι δὲ πάντες ⸢λαοὶ⸣
i23.611 ὡς ἐμὸς οὔ ποτε θυμὸς ὑπερφίαλος καὶ ἀπηνής.
o3.232 βουλοίμην δ' ἂν ἔγω γε καὶ ἄλγεα πολλὰ μογήσας,
i15.141 πάντων ἀνθρώπων ῥῦσθαι γενειήν τε τόκον τε.
o5.190 * † καὶ γὰρ ἐμοὶ νόος ἐστὶν ⸢ἐναίσιμος⸣· οὐδέ μοι αὐτῷ
o5.191 θυμὸς ἐνι στήθεσσι σιδήρεος, ἀλλ' ἐλεήμων.
i1.117 βούλομ' ἐγὼ λαὸν σόον ἔμμεναι ἢ ἀπολέσθαι,
o16.189 * πάσχειν τ' ἄλγεα πόλλα, βίας ὑποδέγμενον ἀνδρῶν.
*o19.128* μεῖζόν κε κλέος εἴη ἐμὸν καὶ κάλλιον οὕτω."
*o4.620* ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον 201a
i5.874@ ἀλλήλων ἰότητι, ⸢χάριν δ'⸣ ἄνδρεσσι φέροντες. 201b

*περὶ τοῦ εὐαγγελισμοῦ*

o15.458 * καὶ τότ' ἄρ' ἄγγελον ἧκεν, ὃς ἀγγείλειε γυναικὶ
i7.45† βουλήν, ἥ ῥά ⸢τότε σφιν⸣ ἐφήνδανε μητιόωσι.
*i21.299 ** *αὐτὰρ ὁ βῆ, μέγα γάρ ῥα θεοῦ ὤτρυνεν ἐφετμή,*

**181** ξεῖν' ἤ τοι **184** δαίμονι' **189** ἦεν **190** αἰεὶ Iv **191** οὐ γάρ πώ τοι **193** Ἀχαιοί **197** ἐναίσιμος Steph, Hom : αἰδέσιμος Iv **201a** et **201b** om. Steph **201b** χάριν **202** γυναῖκα Iv **203** θεοῖσιν

ἀντία δεσποίνης φάσθαι καὶ ἕκαστα πυθέσθαι. o15.377
καρπαλίμως δ' ἤϊξεν ἐπὶ χθόνα πουλυβότειραν i11.118 + 619
οὐρανόθεν καταβὰς διὰ αἰθέρος ἀτρυγέτοιο, i11.184 + 17.425
νύμφῃ εὐπλοκάμῳ εἰπεῖν νημερτέα βουλήν. *o5.30*
βῆ δ' ἴμεν ἐς θάλαμον πολυδαίδαλον, ᾧ ἔνι κούρη o6.15
˹ἕζετ' ἐνὶ˺ κλισμῷ· ὑπὸ δὲ θρῆνυς ποσὶν ἦεν, o4.136†
ἠλάκατα στρωφῶσ' ἁλιπόρφυρα, θαῦμα ἰδέσθαι *o6.306*
ἀδμήτη, τὴν οὔ πω ὑπὸ ζυγὸν ἤγαγεν ἀνήρ. i10.293 *
τήν δὲ τότ' ἐν μεγάροισι πατὴρ καὶ πότνια μήτηρ i9.561
ἀνδρὶ φίλῳ ˹ἔπορον˺· ὁ δέ μιν πρόφρων ὑπέδεκτο, i14.504† + 9.480 *
οὔτ' εὐνῆς πρόφασιν κεχρημένος οὔτε τευ ἄλλου, i19.262
ἀλλ' ἔμεν' ἀπροτίμαστος ἐνὶ κλισίῃσιν ἑῇσιν. o19.263 *
οὔ τι γάμου τόσσον κεχρημένος οὐδὲ χατίζων, o22.50
ἀλλ' ἄλλα φρονέων, τά οἱ οὐκ ˹ἀτέλεστα γένοντο˺. o22.51†
ἤ τι ὀϊσσάμενός γ' ἢ καὶ θεὸς ὣς ἐκελεύσεν, o9.339
μή ποτε τῆς εὐνῆς ἐπιβήμεναι ἠδὲ μιγῆναι, i9.133
ἣ θέμις ἀνθρώπων πέλει, ἀνδρῶν ἠδὲ γυναικῶν. i9.134
δέσποιναν μὲν πρῶτα κιχήσατο ἐν μεγάροισιν. o7.53 *
στῆ δ' αὐτῆς προπάροιθεν ἔπος τ' ἔφατ' ἔκ τ' ὀνομαζεν i14.297
κήρυξ πεισήνωρ, πεπνυμένα μήδεα εἰδώς, o2.38
τυτθὸν φθεγξάμενος· τὴν δὲ τρόμος ἔλλαβε γυῖα. i24.170 *
"θάρσει ˹ὦ γύναι χαρίεσσα,˺ μηδέ τι τάρβει· i24.171†
ἀλλ' ἐμέθεν ξύνες ὦκα· ˹θεοῦ˺ δέ τοι ἄγγελός εἰμι, *i24.133*†
˹ὅς κέν με˺ προέηκε τεῒν τάδε μυθήσασθαι. i11.201†
χαῖρέ μοι, ὦ βασίλεια, διαμπερές, εἰς ὅ κεν ˹ἔλθοι˺ o13.59†
ἀνδράσιν ἠδὲ γυναιξὶν ˹ἐπὶ˺ χθόνα πουλυβότειραν o19.408†
˹γῆρας˺ καὶ θάνατος, τά τ' ἐπ' ἀνθπώποισι πέλονται. o13.60†
σὸν δ' ἤτοι κλέος ἔσται ὅσον τ' ἐπικίδναται ἠώς. i7.458
τοῖς οἳ νῦν γεγάασι καὶ οἳ μετόπισθεν ἔσονται. o24.84

**210** ἕζετο δ' ἐν **214** ἐλθόντι **218** ἐτέλεσσε Κρονίων **226** Δαρδανίδη Πρίαμε, φρεσί **227** Διός **228** Ζεῦς με πάτηρ **229** γῆρας **231** ἔλθῃ

o 11.248 † χαῖρε, γύναι ⌜χαρίεσσα·⌝ περιπλομένου δ' ἐνιαυτοῦ
i 19.104 * ἐκφανεῖ, ὃς πάντεσσι περικτιόνεσσιν ἀνάσσει
i 19.111 τῶν ἀνδρῶν οἳ σῆς ἐξ αἵματός εἰσι γενέθλης.
*o 19.269* * νημερτὲς γάρ τοι μυθήσομαι, οὐδ' ἐπικεύσω,
i 7.458 * τοῦ δή τοι κλέος ἔσσεθ' ὅσον τ' ἐπικίδναται ἠώς
i 10.213 πάντας ἐπ' ἀνθρώπους, καί οἱ δόσις ἔσσεται ἐσθλή."
*o 4.703* ὣς φάτο· τῆς δ' αὐτοῦ λύτο γούνατα καὶ φίλον ἦτορ.
o 19.478 ἡ δ' οὔτ' ἀθρῆσαι δύνατ' ἀντίη οὔτε νοῆσαι,
i 1.569 καί ῥ' ἀκέουσα καθῆστο, ἐπιγνάμψασα φίλον κῆρ.
o 19.471 τὴν δ' ἅμα χάρμα καὶ ἄλγος ἕλε φρένα, τὼ δέ οἱ ὄσσε
o 4.705 δακρυόφιν πλῆσθεν, θαλερὴ δέ οἱ ἔσχετο φωνή.
i 24.359 ὀρθαὶ δὲ τρίχες ἔσταν ἐνὶ γναμπτοῖσι μέλεσσι.
o 4.706 ὀψὲ δὲ δή μιν ἔπεσσιν ἀμειβομένη προσέειπε·
o 16.91 @ "ὦ φίλ', ἐπεί ⌜δή⌝ μοι καὶ ἀμείψασθαι θέμις ἐστί,
i 24.90 τίπτε με κεῖνος ἄνωγε μέγας θεός; αἰδέομαι δὲ
i 10.293 * ἀδμήτην, ἣν οὔ πω ὑπὸ ζυγὸν ἤγαγεν ἀνήρ.
i 19.90 ἀλλὰ τί κεν ῥέξαιμι; θεὸς διὰ πάντα τελευτᾷ,
i 20.243 ὅππως κεν ἐθέλῃσιν· ὁ γὰρ κάρτιστος ἁπάντων.
o 11.348 * † τοῦτο μὲν οὕτω δὴ ἔστω ἔπος, ⌜ὡς εἴρηκας⌝,
o 23.213 αὐτὰρ μὴ νῦν μοι τόδε χώεο μηδὲ νεμέσσα
o 23.214 οὕνεκά σ' οὐ τὸ πρῶτον, ἐπεὶ ἴδον, ὧδ' ἀγάπησα.
o 23.215 αἰεὶ γάρ μοι θυμὸς ἐνὶ στήθεσσι φίλοισιν
o 23.216 ἐρρίγει, μή τίς με βροτῶν ἀπάφοιτ' ἐπέεσσιν
o 23.217 † * ἐλθών. πολλοὶ γὰρ κακὰ ⌜κήδεα⌝ ⌜βουλευονται⌝."
cf. o 2.38 τήνδ' ἀπαμειβόμενος προσέφη κῆρυξ πεισήνωρ,
o 17.583 "καὶ δέ σοι ὧδ' αὐτῇ πολὺ κάλλιον, ὦ βασίλεια,
o 17.584 οἵην πρὸς ξεῖνον φάσθαι ἔπος ἠδ' ἐπακοῦσαι.
o 2.372 † θάρσει ⌜μοι⌝· ἐπεὶ οὔ ⌜τι⌝ ἄνευ θεοῦ ἥδε γε βουλή.
o 19.42 σίγα καὶ κατὰ σὸν νόον ἴσχανε μηδ' ἐρέεινε·
o 19.502 * ἀλλ' ἔχε σιγῇ μῦθον, ἐπίτρεψον δὲ ⌜θεῷ περ⌝.

**234** φιλότητι **237** om. Iv **247** θήν **252** αἴ κε ἐγώ γε **257** *κέρδεα βουλεύσουσιν* **261** *μαῖα'*... τοι **263** θεοῖσιν

αὐτὰρ ἐγὼ νέομαι· σὺ δὲ τέρπεο τῷδ' ἐνὶ ⸢χώρῳ⸣. o13.61†
εἶμι μέν, οὐδ' ἅλιον ἔπος ἔσσεται, ὅττι κεν εἴπῃ. i24.92
ἀργαλέον, βασίλεια, διηνεκέως ἀγορεῦσαι." o7.241
αὐτὰρ ἐπεὶ δὴ πᾶσαν ἐφημοσύνην ἀπέειπε, o16.340 *
χάλκεον οὐρανὸν ἷκε δι' αἰθέρος ἀτρυγέτοιο. i17.425

*περὶ τῆς συλλήψεως καὶ περὶ τοῦ θείου τόκου*

αὐτὰρ ὁ αὖτις ἰὼν πάϊς ὣς ὑπὸ μητέρα δύσκεν, i8.271
ὃς πᾶσι θνητοῖσι καὶ ἀθανάτοισιν ἀνάσσει. i12.242
ἀλλ' ὅτε δὴ μῆνές τε καὶ ἡμέραι ἐξετελεῦντο, *o14.293*
αὐτίκ' ἄρ' εἰς εὐρὺ σπέος ἤλυθε ⸢παρθένος ἁγνή⸣ o5.77†
φάτνῃ ἐφ' ἱππείῃ, ὅθι περ ⸢μώνυχες⸣ ἵπποι i10.568†
ἔστασαν ὠκύποδες μελΐηδέα πυρὸν ἔδοντες. i10.569
ἡ δ' ⸢ὑποκυσσαμένη⸣ κρατερόφρονα γείνατο παῖδα. i14.324†
ἐξάγαγέν ⸢τε⸣ φόωσδε καὶ ἠελίου ἴδεν αὐγάς. i16.188†
τῷ δ' οὔ πώ τις ὁμοῖος ἐπιχθόνιος γένετ' ἀνήρ. i2.553
καλὸν δ' οὕτω ἐγὼν οὔ πω ἴδον ὀφθαλμοῖσιν, i3.169
οὐδ' οὕτω γεραρόν. βασιλῆϊ γὰρ ἀνδρὶ ἔοικε i3.170
παναπάλῳ οἷοί τε ἀνάκτων παῖδες ἔασι. o13.223
τὼς μὲν ἔην μαλακός, λαμπρὸς δ' ἦν ἠέλιος ὥς. o19.234

*περὶ τοῦ ἀστέρος*

ἀστὴρ δ' ὣς ἀπέλαμπεν· ἔκειτο δὲ νείατος ἄλλων, o15.108
⸢κάλλεϊ⸣ παμφαίνων ὥς τ' ἠλέκτωρ Ὑπερίων. i19.398†
αἴγλη δ' οὐρανὸν ἷκε, γέλασσε δὲ πᾶσα περὶ χθών. i19.362
εὖτ' ἀστὴρ ὑπερέσχε φαάντατος, ὅς τε μάλιστα o13.93
λαμπρὸν παμφαίνῃσι λελουμένος Ὠκεανοῖο i5.6
δεικνὺς σῆμα βροτοῖσιν· ἀρίζηλοι δέ οἱ αὐγαί. i13.244

**264** οἴκῳ **272** οὐδέ μιν ἄντην **273** Διομήδεος **275** ῥ' Ἡρακλῆα **276** πρὸ **283** τεύχεσι

i2.318 τὸν μὲν ἀρίζηλον θῆκεν θεός, ὅς περ ἔφηνε
i6.483 παῖδ' ἐόν· ἡ δ' ἄρα μιν κηώδεϊ δέξατο κόλπῳ
o23.325 * μήτηρ, ἥ μιν ἔτικτε καὶ ἔτρεφε τυτθὸν ἐόντα,
o5.264 * εἵματά τ' ἀμφιέσαντο θυώδεα καὶ λούσατο·
i22.370 * ἡ καὶ ἐθηήσατο φυὴν καὶ εἶδος ἀγητόν.
i16.191 † τὸν δ' ὁ γέρων ⌜ἐφύλασσε⌝ καὶ ἔτρεφεν ἠδ' ἀτίταλλεν.

*περὶ τῶν προσενεχθέντων τῶν δώρων παρὰ τῶν μάγων*

o8.419 † δεξάμενοι δ' ἄρα παῖδες ἀμύμονες ⌜ἁγνοτόκοιο⌝
? δῶρα, τά οἱ φέρον ἀστέρα δερκόμεν' ἀντολίηθεν,
o8.420 μητρὶ παρ' αἰδοίῃ θέσσαν περικαλλέα δῶρα.
i19.18 * † τέρπετο δ' ἐν χείρεσσιν ⌜ἔχουσά περ⌝ ἀγλαὰ δῶρα
o23.325 * μήτηρ, ἥ μιν ἔτικτε καὶ ἔτρεφε τυτθὸν ἐόντα
o4.526 † χρυσοῦ δοιὰ τάλαντα· φύλασσε ⌜δὲ ταῦτ' ἐνὶ οἴκῳ⌝
o15.132 * δεξαμένη, καὶ πάντα ἑῷ θηήσατο θυμῷ.

*περὶ τῆς τοῦ Ἡρώδου βρεφοκτονίας*

o10.469 ἀλλ' ὅτε δή ῥ' ἐνιαυτὸς ἔην, περὶ δ' ἔτραπον ὧραι,
o24.413 @ ὅσσα δ' ἄρ ἄγγελος ὦκα κατὰ πτόλιν ⌜ᾤχετο⌝ πάντῃ,
i6.166 † ⌜δὴ τότε⌝ τόν ⌜γε⌝ ἄνακτα χόλος λάβεν οἷον ἄκουσε.
i14.389 † @ ⌜καί⌝ ῥα τότ' αἰνοτάτην ἔριδα πτολέμοιο ⌜τάνυσσεν⌝
i2.338 νηπιάχοις, οἷς οὔ τι μέλει πολεμήϊα ἔργα.
i2.39 θήσειν γὰρ ἔτ' ἔμελλεν ἐπ' ἄλγεά τε στοναχάς τε.
o18.139 πολλὰ δ' ἀτάσθαλ' ἔρεξε βίῃ καὶ κάρτεϊ εἴκων,
i1.288 * πάντων μὲν κρατέειν ἐθέλων, πάντεσσι δ' ἀνάσσειν.
i17.236 * νήπιος· ἦ τε πολέσσιν ἐπ' αὐτῷ θυμὸν ἀπηύρα
i16.262 * † νηπιάχοις· ξυνὸν δὲ κακὸν πολέεσσιν ⌜ἔθηκε⌝

**293** Φῦλας εὖ **294** Ἀλκινόοιο **295** δερκόμενοι Iv **297** ἐχὼν θεοῦ Hom, Iv : ἔχουσά περ Iv (superscr.) **299** δ' ὅ γ' εἰς ἐνιαυτόν **303** ὣς φάτο ... δέ **304** δὴ **310** τιθεῖσι

κτείνας ἐπιστροφάδην· τῶν δὲ στόνος ὤρνυτ' ἀεικὴς i10.483 *
ἄορι θεινομένων, ἐρυθαίνετο δ' αἵματι γαῖα. i10.484
⌜τῷ κέν πως⌝ λαοὶ μὲν ὀδύρονται κατὰ ἄστυ, i24.740†
ἀρητὸν δὲ τοκεῦσι γόον καὶ πένθος ἔθηκεν. i24.741 *
ἔνθα τίνα πρῶτον, τίνα δ' ὕστατον ἐξενάριξε i16.692 *
σχέτλιος, ὀβριμοεργός, ὃς οὐκ ὄθετ' αἴσυλα ῥέζων; i5.403
ὅς ῥ' ἔθελε ⌜κτεῖναι⌝ καὶ ἀπορραῖσαι φίλον ἦτορ, o16.428 * @
αὐτὸς θνητὸς ἐὼν θεὸν ἄμβροτον. οὐδέ νύ πώ μιν i22.9 *
ἔγνω ὡς θεός ἐστιν. ὁ δ' ἀσπερχὲς μενέαινε, i22.10 *
τὰ φρονέων ἀνὰ θυμὸν ἅ ῥ' οὐ τελέεσθαι ⌜ἔμελλεν⌝ i2.36 * @
αὖτις, ἐπεί ῥά τοι ὧδε κακὸς χόλος ἔμπεσε θυμῷ. i16.206
ἀργαλέος γάρ τ' ἐστι θεὸς βροτῷ ἀνδρὶ δαμῆναι, o4.397
ὃς θνητός τ' εἴη καὶ ἔδοι Δημήτερος ἀκτήν. i13.322
τὸν δὲ τότ' ἐν μεγάροισι πατὴρ καὶ πότνια μήτηρ i9.561 *
νυκτὶ κατακρύψασα θοῶς ἐξῆγε πόληος, o23.372
ὁρμαίνουσ' ⌜εἴ οἱ⌝ θάνατον φύγοι υἱὸς ἀμύμων. o4.789†
δείδιε γὰρ μὴ λαιμὸν ⌜ἀποτμήξειε⌝ σιδήρῳ i18.34@
δεινὸς ἀνήρ. τάχα κεν καὶ ἀναίτιον αἰτιόῳτο. i11.654
τῷ οὔτ' ἂρ φρένες ἦσαν ἐναίσιμοι οὔτε νόημα i24.40 *
γναμπτὸν ἐνὶ στήθεσσι, λέων δ' ὣς ἄγρια οἶδεν. i24.41
νήπιος, οὐδὲ τὸ οἶδε κατὰ φρένα ⌜καὶ κατὰ θυμόν⌝, i5.406@
ὅττι μάλ' οὐ δηναιὸς ὃς ⌜ἀθανάτῳ γε⌝ ⌜μάχοιτο⌝, i5.407 * @
οὐδέ τί μιν παῖδες ποτὶ γούνασι παππάζουσιν. i5.408
τοῦ δὲ γυναικὸς μέν τ' ἀμφίδρυφοί εἰσι παρειαί. i11.393
⌜οὐδὲ γὰρ⌝ οὐδέ ἕ φημι πόδεσσί γε οἷσι κιόντα, i17.27†
νοστήσαντ' οἰκόνδε φίλην ἐς πατρίδα γαῖαν, i5.687 *
εὐφρανέειν ἄλοχόν τε φίλην νήπια ⌜τέκνα⌝, i5.688†
ἀλλ' αἰεί τε ⌜θεοῦ⌝ κρείσσων νόος ἠέ περ ⌜ἀνδρός⌝. i16.688 * @
ὅς τε καὶ ἄλκιμον ἄνδρα φοβεῖ καὶ ἀφείλετο νίκην. i17.177

**313** τὼ καὶ μιν **317** φθεῖσθαι **320** ἔμελλον **326** εἴ οἱ correxi pro εἴη Iv **327** ἀπαμήσειε **331** Τυδέος υἱὸς **332** ἀθανάτοισι **335** ἔμμεναι **337** νήπιον υἱόν **338** Διὸς

*περῖ τῆς εἰς Αἴγυπτον φυγῆς*

i2.5 ἥδε δέ οἱ κατὰ θυμὸν ἀρίστη φαίνετο βουλὴ
o4.483 Αἴγυπτόνδ' ἰέναι, δολιχὴν ὁδὸν ἀργαλέην τε.
o14.257 * πεμπταῖοι δ' Αἴγυπτον ἐϋρρείτην ⸢ἀφίκοντο⸣
i6.137 * δειδιότες· κρατερὸς γὰρ ἔχε τρόμος ἀνδρὸς ὁμοκλῇ.

*περῖ τῆς ἐξ Αἰγύπτου ἐπανόδου*

cf. o11.150 ἀλλ' ὅτε δὴ καὶ ἐκεῖνος ἔβη δόμον Ἄϊδος εἴσω,
o16.428@ ὅς ῥ' ἔθελε ⸢κτεῖναι⸣ καὶ ἀπορραῖσαι φίλον ἦτορ,
o4.581† ἂψ δ' ⸢ἄρ ἀπ⸣ Αἰγύπτοιο, διιπετέος ποταμοῖο,
*o5.42* οἶκον ἐς ὑψόροφον καὶ ἑὴν ἐς πατρίδα γαῖαν
o3.158 ἔπλεον, ἐστόρεσεν δὲ θεὸς μεγακήτεα πόντον.
i5.806 αὐτὰρ ὁ θυμὸν ἔχων ὃν καρτερόν, ὡς τὸ πάρος περ,
i22.503 εὕδεσκ' ἐν λέκτροισιν, ἐν ἀγκαλίδεσσι τιθήνης,
i22.504 εὐνῇ ἔνι μαλακῇ, θαλέων ἐμπλησάμενος κῆρ,
o5.197 * ἔσθων καὶ πίνων, οἷα βροτοὶ ἄνδρες ἔδουσιν,
o6.237 κάλλεϊ καὶ χάρισι στίλβων. θηεῖτο δὲ κούρη,
o23.325 * μήτηρ, ἥ μιν ἔτικτε καὶ ἔτρεφε τυτθὸν ἐόντα.
o9.190† καὶ γὰρ θαῦμ' ἐτέτυκτο πελώριον. οὐ ⸢γὰρ⸣ ἐῴκει
i24.259 ἀνδρός γε θνητοῦ πάϊς ἔμμεναι, ἀλλὰ θεοῖο.
o6.160@ οὐ γάρ πω ⸢τοιοῦτον ἴδε βροτὸν⸣ ὀφθαλμοῖσιν,
o6.161 * οὔτ' ἄνδρ', οὔτε γυναῖκα· σέβας ⸢δ' ἔχεν⸣ εἰσορόωσαν.

*περὶ τοῦ προδρόμου*

i11.225 αὐτὰρ ἐπεί ῥ' ἥβης ἐρικυδέος ἵκετο μέτρον,
o19.153 μηνῶν φθινόντων, περὶ δ' ἤματα πόλλ' ἐτελέσθη,
o3.495 * ἷξεν γ' ἐς πεδίον πυρηφόρον, ἔνθα δ' ἔπειτα
o2.38 κῆρυξ πεισήνωρ, πεπνυμένα μήδεα εἰδώς,

**342** ἱκόμεσθα **344** κἀκεῖνος Iv **346** εἰς **355** δὲ **358** μ' ἔχει

πρόσθε μὲν ἐσθλὸς ἔφευγε, δίωκε δέ μιν μέγ' ἀμείνων, i22.158
ἀμφότερον κῦδός τε καὶ ἀγλαΐην καὶ ὄνειαρ. o15.78
τῇ ῥα παραδραμέτην, φεύγων, ὁ δ' ὄπισθε διώκων i22.157
ὁπλότερος γενεῇ, ⌜ἀλλὰ⌝ πρότερος καὶ ἀρείων. o19.184†
καὶ μέν οἱ κῆρυξ ὀλίγον προγενέστερος αὐτοῦ, o19.244
ὃς δὴ κάλλιστος γένετο θνητῶν ἀνθρώπων, i20.233
τοῦ καὶ ἀπὸ γλώσσης μέλιτος γλυκίων ῥέεν αὐδή, i1.249
ὅς τις ἐπίστατο ᾗσιν ἐνὶ φρεσὶν ἄρτια βάζειν. i14.92 *
κηρύσσων ⌜βοάασκε⌝ λιγύς περ ἐὼν ἀγορητής. i17.325† + *i2.246*
βῆ δ' ἴμεν εἰς ἀγορὴν, ἅμα δ' ἕσπετο πουλὺς ὅμιλος. o8.109 *
⌜πάντας⌝ δ' οὐκ ἂν ἐγὼ μυθήσομαι οὐδ' ὀνομήνω. i2.488†
καρπαλίμως δ' ἔπληντο βροτῶν ἀγοραί τε καὶ ἕδραι. o8.16
τετρήχει δ' ἀγορή, ὑπὸ δὲ στοναχίζετο γαῖα. i2.95
οἱ δ' ἐπεὶ οὖν ἤγερθεν ὁμηγερέες τ' ἐγένοντο. i1.57
στῆ ⌜ῥα⌝ μέσῃ ἀγορῇ, σκῆπτρον δέ οἱ ἔμβαλε χειρί. o2.37†
στὰς δ' ἐν μέσσοισιν ⌜προσεφώνεεν⌝ ἠπύτα κῆρυξ. *i7.384@*
"ἑσταότος μὲν καλὸν ⌜ἀκουέμεν⌝, οὐδὲ ἔοικεν i19.79@
ὑββάλλειν· χαλεπὸν γὰρ ⌜ἐπιστάμενόν περ ἐόντα⌝. i19.80@
ἀνδρῶν δ' ἐν πολλῷ ὁμάδῳ πῶς κέν τις ἀκούσαι, i19.81
ἢ εἴποι; βλάβεται δὲ λιγύς περ ἐὼν ἀγορητής.. i19.82
ἀλλὰ πίθεσθε καὶ ὔμμες, ἐπεὶ πείθεσθαι ἄμεινον. i1.274
κέκλυτέ μευ, πάντες μῦθόν τ' εὖ γνῶτε ἕκαστος. i19.101 + 84
αἰδοῖος νεμεσητὸς ὅ με προέηκ' ⌜ἀγορεῦσαι⌝· i11.649†
⌜καί⌝ μοι ἔφη τάδε πάντα τελευτήσεσθαι ὀπίσσω. o9.511†
πάντων δ' ἀνθρώπων ἴδεν ἄστεα καὶ νόον ἔγνω. o1.3
ἀλλ' αἰεί τινὰ φῶτα μέγαν καὶ καλὸν ἐδέγμην o9.513
ἐνθάδ' ἐλεύσεσθαι, μεγάλην ἐπιειμένον ἀλκὴν, o9.514
ὅς μευ φέρτερός ἐστι νοῆσαί τε κρῆναί τε. o5.170 * @
πρεσβύτερος ⌜δ' ἐγώ εἰμι⌝· βίῃ δ' ὅ γε πολλὸν ἀμείνων. i11.787 *

**366** ὁ δ' ἅμα **371** γήρασκε/i19.82 **373** πληθὺν **377** δὲ **378** μετεφώνεεν **379** ἀκόυειν **380** ἐπισταμένῳ περ ἐόντι **385** πυθέσθαι **386** ὅς **387** πολλῶν **391** δὲ σύ ἐσσι

i19.217† κρείσσων ⌜γὰρ⌝ ἐμέθεν καὶ φέρτερος οὐκ ὀλίγον περ.
i15.108 * κάρτεΐ τε σθένεΐ τε διακριδόν ἐστιν ἄριστος
i14.93 σκηπτοῦχός τ' εἴη, καί οἱ πειθοίατο λαοί.
*o3.20* ψεῦδος δ' οὐκ ἐρέει· μάλα γὰρ πεπνυμένος ἐστί.
o15.172@ κλῦτέ μευ· αὐτὰρ ἐγὼ ⌜μυθήσομαι⌝ ὡς ἐνι θυμῷ
o15.173 * ἀθάνατος βάλλησι καὶ ὡς τελέεσθαι ὀΐω.
o2.171 καὶ γὰρ ἐκείνῳ φημὶ τελευτηθῆναι ἅπαντα.
i24.220 * εἰ μὲν γάρ τίς μ' ἄλλος ἐπιχθονίων ἐκέλευσεν,
i24.221† ἢ οἳ μάντιές εἰσι ⌜θυοσκόποι⌝ ἢ ἱερῆες,
i24.222 ψεῦδός κεν φαῖμεν καὶ νοσφιζοίμεθα μᾶλλον·
i24.223 νῦν δ' αὐτὸς γὰρ ἄκουσα θεοῦ καὶ ἐσέδρακον ἄντην,
i23.107 καί μοι ἕκαστ' ἐπέτελλεν, ἔϊκτο δὲ θέσκελον αὐτῷ.
i9.442 τοὔνεκά με προέηκε διδασκέμεναι τάδε πάντα.
i24.435 τὸν μὲν ἐγὼ δείδοικα καὶ αἰδέομαι περὶ κῆρι.
i21.566 λίην γὰρ κρατερὸς περὶ πάντων ἔστ' ἀνθρώπων.
o4.141 οὐ γάρ πώ τινά φημι ἐοικότα ὧδε ἰδέσθαι,
i24.630 * ὅσσος ἔην οἷός τε· θεῷ γὰρ ἄντα ἐῴκει.
o18.141 τῷ μή τίς ποτε πάμπαν ἀνὴρ ἀθεμίστιος εἴη,
i4.408 * πειθόμενος τεράεσσι θεῶν καὶ Ζηνὸς ἀρωγῇ,
o5.147 μή πώς τοι μετόπισθε κοτεσσάμενος χαλεπήνῃ.
o16.255 * μὴ πολύπικρα καὶ αἰνὰ βίας ἀποτίσσεται ἐλθών.
o19.269 νημερτέως γάρ τοι μυθήσομαι οὐδ' ἐπικεύσω.
o17.540†@ αἶψά κε σὺν ᾧ ⌜πατρὶ⌝ βίας ἀποτίσσεται ⌜ἐλθὼν⌝
i20.123 * ἀθάνατος. οἱ δ' αὖτ' ἀνεμώλιοι οἳ τὸ πάρος περ
o4.73 * † χρυσῷ τ' ἠλέκτρῳ τε ⌜κεκασμένοι⌝ ἠδ' ἐλέφαντι.
o17.540† αἶψά κε σὺν ᾧ ⌜πατρὶ⌝ βίας ἀποτίσσεται ἀνδρῶν
i16.387 οἳ βίῃ εἰν ἀγορῇ σκολιὰς κρίνωσι θέμιστας,
i16.388 * ἐκ δὲ δίκην ἐλάσωσι, θεοῦ ὄπιν οὐκ ἀλέγοντες.
o13.213 * † ⌜ὅς⌝ σφεας τίσεται ἱκετήσιος, ὅς τε καὶ ἄλλους

**392** εἷς **396** μαντεύσομαι **400** θυοσκόοι **414** παιδὶ **416** κεκασμενοι Iv : πεπυκασμενοι Steph : καὶ ἀργύρου Hom **417** παιδὶ **420** Ζεύς

ἀνθρώπους ἐφορᾷ καὶ τίνυται ὅς τις ἁμάρτοι, o 13.214 *
τῆσδ' ἀπάτης κοτέων· τὰ μὲν ἔσσεται οὐκ ἀτέλεστα. i 4.168
ἀλλὰ πίθεσθε καὶ ὔμμες, ἐπεὶ πείθεσθαι ἄμεινον. i 1.274
ἦ γὰρ ὀΐομαι ἄνδρα χολωσέμεν, ὃς μέγα πάντων i 1.78
⌜ἀνθρώπων⌝ κρατέει καί οἱ πείθονται ⌜ἅπαντες⌝. i 1.79 †
ἦ μέν τοι τάδε πάντα τελείεται ὡς ἀγορεύω. o 14.160
οὔ πω πᾶν εἴρητο ἔπος ὅτ' ἂρ' ἤλυθεν αὐτός, i 10.540 *
ὃς πᾶσι θνητοῖσι καὶ ἀθανάτοισιν ἀνάσσει, i 12.242
⌜ἀνέρι⌝ εἰδόμενος κούρῳ αἰσυμνητῆρι. i 13.69 † + 24.347
τὸν δ' ἐξ ἀγχιμόλοιο ἰδὼν ἐφράσσατο κῆρυξ, i 24.352
ἤϋσεν δὲ διαπρύσιον ⌜μεροπέσσι⌝ γεγωνώς. *i 8.227†*
ἐγγὺς ἀνήρ, οὐ δηθὰ ματεύσομεν, αἴ κ' ἐθέλητε i 14.110
ἐκφυγέειν θάνατόν τε κακὸν καὶ κῆρα μέλαιναν. i 21.66
⌜ἀλλὰ γὰρ⌝ οὐδέ τίς οἱ δύναται μένος ἰσοφαρίζειν. i 6.101 †
αὐτὸς δ', αἴ κ' ἐθέλῃσιν ἰήσεται, οὐδέ τις ἄλλος." o 9.520
ὣς εἰπὼν ὤτρυνε μένος καὶ θυμὸν ἑκάστου. i 5.470
κύσσε δέ μιν περιφὺς ἐπιάλμενος ἠδὲ προσηύδα, o 24.320
"ὦ φίλ', ἐπεὶ νόστησας ἐελδομένοισι μάλ' ἡμῖν, o 24.400
38a πολλὰ μαλ' εὐχομένοισι καὶ ἐλπομένοισιν ἰδέσθαι, ?
οὖλέ τε καὶ ⌜μέγα⌝ χαῖρε, θεὸς δέ τοι ὄλβια δοίη." o 24.402 * @

*περὶ τοῦ θείου βαπτίσματος*

ὣς εἰπὼν ὁ μὲν ἦρχ', ὁ δ' ἅμ' ἕσπετο ἰσόθεος φώς. *i 11.472*
ἐς ποταμὸν δ' εἰλῦντο βαθύρροον ἀργυροδίνην. i 21.8
ἀλλ' ὅτε δὴ πόρον ἷξον ἐϋρρεῖος ποταμοῖο, i 14.433
ὃς πολὺ κάλλιστα ποταμῶν ἐπὶ γαῖαν ἵησι, o 11.239 *
⌜καί μιν⌝ ἀποπρὸ φέρων λοῦσεν ποταμοῖο ῥοῇσι, i 16.679 †
κρύπτων ἐν δίνῃσι βαθείῃσιν μεγάλῃσι, i 21.239
αὐτὸς δ' ἀργύρεον φᾶρος μέγα ἕννυτο ⌜θεῖον⌝, o 5.230 * †

**421** τίννυται Iv **425** Ἀργείων ... Ἀχαιοί **429** μάντει **431** Δαναοῖσι **434** μαίνεται **438a** om. Steph **439** μάλα **444** πολλὸν **446** νύμφη

o 5.231 λεπτόν, καὶ χάριεν, περὶ δὲ ζώνην βάλετ' ἰξυῖ.
i 24.340 αὐτίκ' ἔπειθ' ὑπὸ ποσσὶν ἐδήσατο καλὰ πέδιλα.

*περὶ τῆς τοῦ ἁγίου πνεύματος καθόδου ἐν εἴδει περιστερᾶς*

cf. o 6.210 ἦμος δ' ἄρ' ὅ γ' ἐλούσατο ἐν ποταμῷ βαθυδίνῃ,
o 6.228 ἀμφὶ δὲ εἵματα ἕσσαθ' ἅ οἱ πόρε πάρθενος ἀδμής,
i 15.371 εὔχετο, χεῖρ' ὀρέγων εἰς οὐρανὸν ἀστερόεντα,
i 23.874 † @ ὕψι δ' ⌜ὑπαὶ⌝ νεφέων ⌜ἴδετο⌝ τρήρωνα πέλειαν.
i 19.362 αἴγλη δ' οὐρανὸν ἷκε, γέλασσε δὲ πᾶσα περὶ χθών.
i 21.382 ἄψορρον δ' ἄρα κῦμα κατέσσυτο καλὰ ῥέεθρα.

*περὶ τῆς κλήσεως τῶν ἀποστόλων*

o 9.195 † * ⌜καὶ τότε δὴ⌝ κρῖνέν γ' ἑτάρων δυοκαίδεκ' ἀρίστους
o 5.67 * εἰναλίους, οἷσίν τε θαλάσσια ἔργα μεμήλεν,
i 18.376 ὄφρά οἱ αὐτόματοι θεῖον δυσαίατ' ἀγῶνα.
i 9.498 τῶν περ καὶ μείζων ἀρετὴ τιμή τε βίη τε.
i 12.103 οἱ γάρ οἱ εἴσαντο διακριδὸν εἶναι ἄριστοι
i 12.104 τῶν ἄλλων μετά γ' αὐτόν· ὁ δ' ἔπρεπε καὶ διὰ πάντων.
o 9.334 οἱ δ' ἔλαχον τοὺς ἄν κε καὶ ἤθελεν αὐτὸς ἑλέσθαι.
o 5.36 † * οἱ ⌜δή⌝ μιν περὶ κῆρι θεὸν ὣς τιμήσαντο.
o 17.386 οὗτοι γὰρ κλητοί γε βροτῶν ἐπ' ἀπείρονα γαῖαν
i 9.501 λισσόμενοι, ὅτε κέν τις ὑπερβήῃ καὶ ἁμάρτῃ.
i 9.509 @ τὸν δὲ μέγ' ὤνησαν καί τ' ἔκλυον ⌜εὐξαμένοιο⌝.
*i 10.302* τοὺς ὅ γε συγκαλέσας πυκινὴν ἠρτύνετο βουλήν.

*περὶ τῆς διδαχῆς τοῦ Χριστοῦ*

*o 18.351* "κέκλυτέ μευ, μνηστῆρες ἀγακλειτῆς βασιλείης,
o 18.352 ὄφρ' εἴπω τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει.

**452** ὑπὸ **455** αὐτὰρ ἐγὼ **462** κέν

οὐ γὰρ ἀπείρητος ⌜μυθήσομαι⌝, ἀλλ' ἐῢ εἰδὼς o2.170†
τέκμωρ. οὐ γὰρ ἐμὸν παλινάγρετον οὐδ' ἀπατηλὸν i1.526
οὐδ' ἀτελεύτητον, ὅ τί κεν κεφαλῇ κατανεύσω. i1.527
οὔτε τι μάντις ἐὼν οὔτ' οἰωνῶν σάφα εἰδώς, o1.202
αὐτὰρ ἐγὼ μεγάλου θεοῦ εὔχομαι ἔμμεναι υἱός. cf. i21.87
πατρὸς δ' εἴμ' ἀγαθοῖο, θεὸς δέ με γείνατο ⌜πατὴρ⌝ i21.109 * †
ἤπιος, ὅς δή τοι παρέχει βρῶσίν τε πόσιν τε, o15.490 *
ξείνιος, ὅς τε μάλιστα νεμεσσᾶται κακὰ ἔργα. o14.284 *
τοῦ ⌜περ⌝ ἐγὼ πάϊς εἰμί, πατὴρ δ' ἐμὸς εὔχεται εἶναι. o9.519†
τοὔνεκά με προέηκε διδασκέμεναι τάδε πάντα i9.442
σήμαθ', ἃ δὴ καὶ νῶϊ κεκρυμμένα ἴδμεν ἀπ' ἄλλων. o23.110
ἴδμεν δ' ὅσσα γένηται ἐπὶ χθονὶ πουλυβοτείρῃ, o12.191
μοίρην τ' ἀμμορίην τε καταθνητῶν ἀνθρώπων. o20.76

*περὶ τῆς ἁγίας τριάδος*

ἀλλὰ πίθεσθε καὶ ὔμμες, ἐπεὶ πείθεσθαι ἄμεινον i1.274
ἡμῖν, οὕνεκα πομποὶ ἀπήμονές εἰμεν ἁπάντων o13.174
τρεῖς, ἀμφιστρεφέες, ἑνὸς αὐχένος ἐκπεφυῶτες, i11.40 *
ἥλικες ἰσοφόροι, τῶν τε σθένος οὐκ ἀλαπαδνόν, o18.373
τῶν περ καὶ μείζων ἀρετὴ τιμή τε βίη τε. i9.373

*περὶ τῆς ἀναστάσεως*

ἀλλ' ἄγεθ', ὡς ἂν ἐγὼ εἴπω, πειθώμεθα πάντες. o13.179
ὧδε γὰρ ἐξερέω, τὸ δὲ καὶ τετελεσμένον ἔσται. *i1.212*
⌜οἵδ', οἵ κεν⌝ τεθνᾶσι καὶ εἰν Ἀΐδαο δόμοισι, o15.350†
αὖθις ἀναστήσονται ὑπὸ ζόφου ἠερόεντος, i21.56
πάντες ὁμηγερέες, ἠμὲν νέοι ἠδὲ γέροντες. i2.789
ἔσσεται ἢ ἠὼς ἢ δείλη ἢ μέσον ἦμαρ, i21.111
οὔ τοι ἀπόβλητόν γ' ἔπος ἔσσεται, ὅττι κεν εἴπω, i2.361

**469** μαντεύσομαι **474** μήτηρ **477** γὰρ **489** ἦ ἤδη

o11.218@ ἀλλ’ αὕτη δίκη ἐστὶ βροτῶν. ὅτε ˹κέν τε θάνωσιν˺,
i23.497† ˹ἂψ’ ἀναστήσονται˺. τότε δὲ γνώσεσθε ἕκαστος
o22.374 ὡς κακοεργίης εὐεργεσίη μέγ’ ἀμείνων.
i13.278 ἔνθ’ ὅ τε δειλὸς ἀνὴρ ὅς τ’ ἄλκιμος ἐξεφαάνθη·
o6.158 κεῖνος δ’ αὖ περὶ κῆρι μακάρτατος ἔξοχον ἄλλων,
i10.307 ὅς τίς κεν τλαίη, οἷ τ’ αὐτῷ κῦδος ἄροιτο.
o19.332† ὃς ˹μὲν˺ ἀμύμων αὐτὸς ἔῃ, καὶ ἀμύμονα εἰδῇ,
o19.333 τοῦ μέν τε κλέος εὐρὺ διὰ ξεῖνοι φορέουσι
o19.334 πάντας ἐπ’ ἀνθρώπους, πολλοί τέ μιν ἐσθλὸν ἔειπον.
o19.329† ὃς ˹δὲ˺ ἀμηνὴς αὐτὸς ἔῃ καὶ ἀπηνέα εἰδῇ
i9.512 τῷ ἄτην ἅμ’ ἕπεσθαι, ἵνα βλαφθεὶς ἀποτίσῃ.
o19.330 τῷ δὲ καταρῶνται πάντες βροτοὶ ἄλγε’ ὀπίσσω
o19.331 ζωῷ, ἀτὰρ τεθνεῶτί γ’ ἐφεψιόωνται ἅπαντες.
cf. i18.273 εἰ δ’ ἂν ἐμοῖς ἐπέεσσι πιθοίατο ὡς ἀγορεύω,
o8.563 οὔτε τι πημανθῆναι ἔπι δέος οὔτ’ ἀπολέσθαι.
*i18.266@* ἀλλ’ ἴομεν ˹ποτὶ˺ ἄστυ, πίθεσθέ μοι· ὧδε γὰρ ἔσται.
o10.425† αὐτοὶ δ’ ὀτρύνεσθε ἐμοὶ ˹ἅμα πάντες˺ ἕπεσθαι.
i23.415 ταῦτα δ’ ἐγὼ αὐτὸς τεχνήσομαι ἠδὲ νοήσω.”

*περὶ τοῦ ἀκολουθοῦντος ὄχλου*

i13.833 ὣς ἄρα φωνήσας ἡγήσατο, τοὶ δ’ ἅμ’ ἕποντο
i13.834 ἠχῇ θεσπεσίῃ· ἐπὶ δ’ ἴαχε λαὸς ὄπισθεν
i13.82†* ˹χάρματι˺ γηθόσυνοι, τό σφιν θεὸς ἔμβαλε θυμῷ.
o17.550 τοῦ δ’ ἄμοτον μεμάασιν ἀκουέμεν ὁππότ’ ἀείδῃ
o8.173* ἐρχόμενον δ’ ἀνὰ ἄστυ θεὸν ὣς εἰσορόωντο
o8.551† ˹πάντες˺ θ’ οἳ κατὰ ἄστυ καὶ οἳ περιναιετάεσκον.
i13.492 λαοί ἕπονθ’, ὡς εἴ τε μετὰ κτίλον ἔσπετο μῆλα,
i8.518* παῖδες πρωθῆβαι πολιοκρόταφοί τε γέροντες.

**494** τίς κε θάνῃσιν **495** ἐνθάδ’ ἐλεύσονται **500** δ’ ἂν **503** μὲν **506** γ’ deest in Iv **509** προτὶ **510** ἅμα πάντες Hom, Steph : ἅπαντες Iv **514** χάρμῃ **515** ἀείδει Iv **517** ἄλλοι

ἦλθον ἔπειθ' ὅσα φύλλα καὶ ἄνθεα γίνεται ⸢ἦρος⸣ o9.51@
χωλοί τε ῥυσσοί τε παραβλωπές τ' ὀφθαλμῶν. i9.503 *
ἄλλη δ' ἄλλων γλῶσσα πολυσπερέων ἀνθρώπων. i2.804
⸢πάντας⸣ δ' οὐκ ἂν ἐγὼ μυθήσομαι οὐδ' ὀνομήνω. i2.488 †
ἀλλήλους τ' εἴροντο τίς εἴη καὶ πόθεν ἔλθοι. o17.368
καὶ γὰρ θαῦμ' ἐτέτυκτο πελώριον, οὐδὲ ἐῴκει o9.190
ἀνδρός γε θνητοῦ πάϊς ἔμμεναι, ἀλλὰ θεοῖο. i24.259
τετρήχει δ' ἀγορή, ὑπὸ δ' ἐστοναχίζετο γαῖα. i2.95

*περὶ τοῦ ἐν Κανᾷ γάμου*

⸢βῆ δ' ἴμεναι πρότερος⸣, ἑτέρηφι δὲ λάζετο Πέτρον, i16.734 †
ὅς οἱ ⸢κύδιστος⸣ ἑτάρων ἦν κεδνότατός τε. o10.225 * @
σεύατ' ἔπειτ' ἀνὰ ἄστυ, ποσὶ κραιπνοῖσι πεποιθώς. i6.505
τὸν δ' ἄρα πάντες λαοὶ ἐπερχόμενον θηεῦντο, o17.64
οὕνεκ' ἄριστος ἔην, πολὺ δὲ πλείστους ἄγε λαούς. i2.580
ἀλλ' ὅτε δὴ βασιλῆος ἀγακλυτὰ δώμαθ' ἵκοντο, o7.46
καρπαλίμως ὑπὲρ οὐδὸν ἐβήσετο δώματος εἴσω. o7.135
τὸν δ' εὗρεν δαινύντα γάμους πολλοῖσιν ἔτῃσιν o4.3 *
υἱέος ἠδὲ θυγατρὸς ἀμύμονος ᾧ ἐνὶ οἴκῳ. o4.4
ἦ γάρ οἱ ζωή γ' ἦν ἄσπετος· οὔ τινι τόσση. o14.96
νύμφας δ' ἐκ θαλάμων δαΐδων ὕπο λαμπομενάων, i18.492
ἠγίνεον ἀνὰ ἄστυ, πολὺς δ' ὑμέναιος ὀρώρει i18.493
ἀνδρῶν παιζόντων καλλιζώνων τε γυναικῶν o23.147
τοῖσιν δὲ μέγα δῶμα περιστοναχίζετο ποσσίν. o23.146
κοῦροι δ' ὀρχηστῆρες ἐδίνεον, ἐν δ' ἄρα τοῖσιν i18.494
αὐλοὶ φόρμιγγές τε βοὴν ἔχον· αἱ δὲ γυναῖκες i18.495
μολπῆς ἐξάρχουσαι ἐδίνευον κατὰ μέσσας, o4.19 *
ὅσσαι ἀριστήων ἄλοχοι ἔσαν ἠδὲ θύγατρες. o11.227
πληθὺν δ' οὐκ ἂν ἐγὼ μυθήσομαι οὐδ' ὀνομήνω. i2.488
ἱστάμεναι θαύμαζον ἐπὶ προθύροισιν ἑκάστη. i18.496

**523** πληθὺν **528** σκαιῇ ἔγχος ἔχων **529** κήδιστος **537** γ' deest in Iv

i 18.569 * ταῖσιν δ' ἐν μέσσῃσι πάϊς φόρμιγγι λιγείῃ
i 18.570 ἱμερόεν κιθάριζε, λίνον δ' ὑπὸ καλὸν ἄειδε.
o 10.104 ἄστυδ' ἀφ' ὑψηλῶν ὀρέων καταγίνεον ὕλην.
i 8.545 † @ ἐκ ⌜πεδίων⌝ δ' ⌜ἄξαντο⌝ βόας καὶ ἴφια μῆλα
i 8.546 καρπαλίμως, οἶνον δὲ μελίφρονα οἰνίζοντο,
i 8.547 σῖτόν τ' ἐκ μεγάρων, ἐπὶ δὲ ξύλα πολλὰ λέγοντο
i 11.705 δαιτρεύειν, μή τίς οἱ ἀτεμβόμενος κίοι ἴσης,
i 8.162 † ⌜ἄστῳ⌝ τε κρέασίν τε ἰδὲ πλείοις δεπάεσσι.
i 23.30 * πολλοὶ μὲν βόες ἀργοὶ ὀρέχθοντ' ἀμφὶ σιδήρῳ
i 23.31 * σφαζόμενοι, πολλαὶ δ' ὄϊες καὶ μηκάδες αἶγες·
i 23.32 πολλοὶ δ' ἀργιόδοντες ὕες, θαλέθοντες ἀλοιφῇ,
i 23.33 εὑόμενοι τανύοντο διὰ φλογὸς Ἡφαίστοιο.
o 8.470 οἱ δ' ἤδη μοίρας τ' ἔνεμον κερόωντό τε οἶνον,
i 8.232 † ⌜στήσαντες⌝ κρητῆρας ἐπιστεφέας οἴνοιο.
i 4.345 ἔνθα φίλ' ὀπταλέα κρέα ἔδμεναι ἠδὲ κύπελλα
i 4.346 οἴνου πινέμεναι μελιηδέος, ὄφρ' ἐθέλητον.
o 1.109 κήρυκες δ' αὐτοῖσι καὶ ὀτηροὶ θεράποντες
o 13.72 δεξάμενοι κατέθεντο πόσιν καὶ βρῶσιν ἅπασαν.
o 1.110 οἱ μὲν ἄρ' οἶνον ἔμισγον ἐνὶ κρητῆρσι καὶ ὕδωρ,
o 1.111 οἱ δ' αὖτε σπόγγοισι πολυτρήτοισι τραπέζας
o 1.112 @ νίζον καὶ ⌜προτίθεντο ἰδὲ⌝ κρέα πολλὰ δατεῦντο.
o 4.622 οἱ δ' ἦγον μὲν μῆλα, φέρον δ' εὐήνορα οἶνον.
*o 1.149* οἱ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.
o 12.327 οἱ δὲ ἕως μὲν σῖτον ἔχον καὶ οἶνον ἐρυθρόν,
*i 1.468* * δαίνυντ'· οὐδέ τι θυμὸς ἐδεύετο δαιτὸς ἐΐσης.
o 9.7 δαιτυμόνες δ' ἀνὰ δώματ' ἀκουάζονται ἀοιδοῦ,
o 7.99 πίνοντες καὶ ἔδοντες· ἐπηετανὸν γὰρ ἔχεσκον
o 3.471 δαίνυνθ' ἑζόμενοι· ἐπὶ δ' ἀνέρες ἐσθλοὶ ὄροντο
o 3.472 οἶνον οἰνοχοεῦντες ἐνὶ χρυσέοις δεπάεσσιν.
o 4.15 ὣς οἱ μὲν δαίνυντο καθ' ὑψερεφὲς μέγα δῶμα.

**551** πόλιος ... ἄξοντο **555** ἕδρῃ **561** πίνοντες **563** πιέμεναι Iv **568** προτίθεν τοὶ δὲ **573** ἀκουάζοντες Iv **576** ἑοινοχοεῦντες Iv

πολλὸς δ' ἱμερόεντα χορὸν περιίσταθ' ὅμιλος i18.603
τερπόμενοι· μετὰ δέ σφιν ἐμέλπετο θεῖος ἀοιδὸς o4.17
φορμίζων· δοιὼ δὲ κυβιστητῆρε κατ' αὐτοὺς o4.18
μολπῆς ἐξάρχοντες ἐδίνευον κατὰ μέσσους. o4.19
ἔνθα μὲν ἠΐθεοι καὶ παρθένοι ἀλφεσίβοιαι i18.593
ὠρχεῦντ', ἀλλήλων ἐπὶ καρπῷ χεῖρας ἔχοντες. i18.594
τῶν δ' αἱ μὲν λεπτὰς ὀθόνας ἔχον, οἱ δὲ χιτῶνας i18.595
εἵατ' ἐϋννήτους, ἦκα στίλβοντας ἐλαίῳ. i18.596
⸢ἦμος⸣ δ' ἐκ κεράμων μέθυ πῖνον τοῖο ⸢ἄνακτος⸣, i9.469† *
οἶνον δὲ φθινυθοντες, ὑπέρβιον ἐξαφύοντες, o14.95 *
ἔνθά οἱ ἠπιόδωρος ἐναντίον ἤλυθε μήτηρ, i6.251 *
ἔν τ' ἄρα οἱ φῦ χειρὶ ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζεν· i14.232
"⸢τέκνον⸣, ἐπεί τοι δῶκε θεὸς μέγεθός τε βίην τε i7.288†
οἶνον ἐν ἀμφιφορεῦσι δυώδεκα πᾶσιν ἀφύσσας, o9.204
δαίνυ δαῖ τα γέρουσιν· ἔοικέ τοι, οὔ τοι ἀεικές, i9.70
ὡς ἄν μοι τιμὴν μεγάλην καὶ κῦδος ἄροιο, i16.84 *
ἥ τε καὶ ἐσσομένοισι μετ' ἀνθρώποισι πέληται. *i3.287*
πᾶσά τοί ἐσθ' ὑποδεξίη, πολέεσσι δ' ἀνάσσεις. i9.73
ἐν δὲ κρητῆρές τε καὶ ἀμφιφορῆες ἔασι, o13.105
ἐν δ' ὕδατ' ἀενάοντα· δύω ⸢τέ οἱ⸣ θύραι εἰσίν. o13.109
ἀλλ' ἄγε μοι τόδε εἰπέ, τί τοι φρεσὶν εἴδεται εἶναι;" i24.197
ὣς φάτο. τὴν δ' ἀπαμειβόμενος προσέειπεν ἔπεσσι, cf. o16.193
"τέτλαθι, μῆτερ ἐμή, καὶ ἀνάσχεο κηδομένη περ. i1.586
αἰνῶς γάρ μ' αὐτόν γε μένος καὶ θυμὸς ⸢ἱκάνει⸣. i24.198†
τοιγὰρ ἐγώ τοι, μῆτερ, ἀληθείην καταλέξω. o17.108
ὥρη μὲν πολέων μύθων, ὥρη δὲ καὶ ⸢ἔργων⸣." o11.379†
αὐτὰρ ὁ κηρύκεσσι λιγυφθόγγοισι κέλευσε, *i2.50*
"καρπαλίμως μοι, τέκνα φίλα, κρήηνατ' ἐέλδωρ. o3.418†
ἔρχεσθε κρήνηνδε, καὶ οἴσετε θᾶσσον ἰόντες o20.154 *
⸢ὕδωρ ἐκ πηγῶν⸣, ὅθεν ὑδρεύονται πολῖται." o7.131†

**586** πολλὸν … γέροντος **587** φθινύθοντες Hom : φθινίσκοντες Iv **590** Αἶαν **597** τέ οἱ deest in Iv **601** ἄνωγε **603** ὕπνου **605** τέκνα φίλα Hom : φίλα τέκνα Iv **607** πρὸς δόμον ὑψηλόν

o 15.220 ὣς ἔφαθ’, οἱ δ’ ἄρα τοῦ μάλα μὲν κλύον ἠδ’ ἐπίθοντο
o 2.353 * δώδεκα δ’ ἔμπλησαν καὶ πώμασιν ἦρσαν ἅπαντας.
i 5.806 αὐτὰρ ὁ θυμὸν ἔχων ὃν καρτερόν, ὡς τὸ πάρος περ,
o 9.527 εὔχετο, χεῖρ’ ὀρέγων εἰς οὐρανὸν ἀστερόεντα.
o 2.379 αὐτίκ’ ἔπειτά οἱ οἶνον ἐν ἀμφιφορεῦσιν ἄφυσσεν.
o 4.233 αὐτὰρ ἐπεί ῥ’ ἐνέηκε κέλευσέ τε οἰνοχοῆσαι,
i 1.470 κοῦροι μὲν κρητῆρας ἐπεστέψαντο ποτοῖο,
i 3.295 οἶνον δ’ ἐκ κρητῆρος ἀφυσσόμενοι δεπάεσσιν,
o 12.440† ⌜κίρνων⌝ νείκεα πολλὰ δικαζομένων αἰζηῶν,
i 1.471† νώμησάν ⌜τ’⌝ ἄρα πᾶσιν ἐπαρξάμενοι δεπάεσσιν.
o 9.161 ὣς τότε μὲν πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα,
*o 10.184* * εἵατο δαινύμενοι κρέα τ’ ἄσπετα καὶ μέθυ ἡδύ.
o 1.421 οἱ δ’ εἰς ὀρχηστύν τε καὶ ἱμερόεσσαν ἀοιδὴν
o 1.422 τρεψάμενοι τέρποντο, μένον δ’ ἐπὶ ἕσπερον ἐλθεῖν.
o 1.423 τοῖσι δὲ τερπομένοισι μέλας ἐπὶ ἕσπερος ἦλθε·
*o 1.150* αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο,
o 23.145 μολπῆς τε γλυκερῆς καὶ ἀμύμονος ὀρχηθμοῖο,
o 8.99 φόρμιγγός θ’, ἣ δαιτὶ συνήορός ἐστι θαλείῃ,
o 2.388 * δύσατό τ’ ἠέλιος σκιόωντό τε πᾶσαι ἀγυιαί,
o 16.481 κοίτου τε μνήσαντο καὶ ὕπνου δῶρον ἕλοντο.

*περὶ τοῦ παραλύτου*

*o 2.1* ἦμος δ’ ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠώς,
o 2.5 βῆ ῥ’ ὁ μὲν ἐκ θαλάμοιο θεῷ ἐναλίγκιος ἄντην.
o 18.1 ἦλθε δ’ ἐπὶ πτωχὸς πανδήμιος, ὃς κατὰ ἄστυ
o 5.457 κεῖτ’ ὀλιγηπελέων, κάματος δέ μιν αἰνὸς ἵκανεν
*o 3.399* τρητοῖς ἐν λεχέεσσιν, ὑπ’ αἰθούσῃ ἐριδούπῳ,
o 5.83 δάκρυσι καὶ στοναχῇσι καὶ ἄλγεσι θυμὸν ἐρέχθων,
i 5.391† * ⌜ἤδη⌝ τειρόμενος· χαλεπὸς δέ ἑ δεσμὸς ἐδάμνα.
o 11.393 ἀλλ’ οὐ γάρ οἱ ἔτ’ ἦν ἲς ἔμπεδος οὐδέ τι κίκυς,

**616** κρίνων **617** δ’ **634** ἤδη om. Iv

οἵη περ πάρος ἔσκεν ἐνὶ γναμπτοῖσι μέλεσσιν. o11.394
οὐδ' ὀρθὸς ⌜δύνατο στῆναι⌝ ποσὶν οὐδὲ νέεσθαι o18.241 * @
οἴκαδ', ὅπῃ οἱ νόστος, ἐπεὶ φίλα γυῖα λέλυνται. o18.242
⌜κεῖτο δ'⌝ ἄσιτος, ἄπαστος ἐδητύος ἠδὲ ποτῆτος. o4.788 †
οὔ πώ μίν φασιν φαγέμεν καὶ πιέμεν αὔτως, o16.143
οὐδ' ἐπὶ ἔργα ἰδεῖν, ἀλλὰ στοναχῇ τε γόῳ τε o16.144
⌜κεῖτο⌝ ὀδυρόμενος φθινύθει δ' ἀμφ' ὀστεόφι χρώς. o16.145 †
ἀλλ' ὅτε δὴ γίνωσκε θεοῦ γόνον ⌜αἰὲν⌝ ἐόντα, i6.191 †
ἐρχόμενον προπάροιθεν ὁμίλου μακρὰ ⌜βιβῶντα⌝, i3.22 @
τὸν μὲν ἔπειθ' ὑποδύντε δύω ἐρίηρες ἑταῖροι, i8.332
⌜αὐτοῦ κεν⌝ προπάροιθε ποδῶν ⌜βάλον⌝ ἐν κονίῃσι. i13.205 †
δάκρυά ⌜τ'⌝ ἔκβαλε ⌜πολλά⌝· ἔπος δ' ὀλοφυδνὸν ἔειπεν o19.362 †
[νειόθεν ἐκ κραδίης· οὐδ' ἐν μέσσοισιν ἀναστάς.] i10.10 + i19.77
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα, *o18.104*
  "αὔδα ὅ τι φρονέεις· τελέσαι δέ με θυμὸς ἄνωγεν." o5.89
ἐξαῦτις ⌜δ' ἐπέεσσιν⌝ ἀμειβόμενος προσέειπεν. o21.206 †
"κλῦθί μοι, ὃς χθιζὸς θεὸς ἤλυθες. οὐ γὰρ ἐμοὶ ἴς o2.262 † + i11.668 *
ἔσθ' οἵη πάρος ἔσκεν ἐνὶ γναμπτοῖσι μέλεσσιν. i11.669
οὐ γὰρ ἔτι σάρκας τε καὶ ὀστέα ἶνες ἔχουσι, o11.219
καὶ μένος οὐ τόσον ᾗσιν ἐνὶ στήθεσσιν ἐμοῖσι. i19.202
ἔτλην δ' οἵ' οὔ πώ τις ἐπιχθόνιος βροτὸς ἄλλος. i24.505
σοὶ γὰρ ἐγὼ καὶ ἔπειτα διαμπερὲς ἤματα πάντα i16.498 + 499
εὔχομαι ὥς τε θεῷ καί σευ φίλα γούναθ' ἱκάνω, o13.231
πολλὰ παθών· νῦν αὖ με τεῇς ἐν χερσὶν ἔθηκα. i21.82 *
αὐτὸς δ', αἴ κ' ἐθέλῃς, ἰήσεαι, οὐδέ τις ἄλλος· o9.520 *
γῆρας ἀποξύσας θήσει νέον ἡβωωντα. i9.446 *
ὢ ⌜ἄνα⌝, εἴθ', ὡς θυμὸς ἐνὶ στήθεσσι φίλοισιν, i4.313 †
ὣς μοι γούναθ' ἕποιτο βίη ⌜δέ⌝ μοι ἔμπεδος εἴη. cf. i4.314 + o14.503 † @

**637** στῆναι δύναται **639** κεῖτ' ἄρ' **642** ἧσται **643** ἠὒν **644** βιβάντα **646** Ἕκτορι δὲ … πέσεν **647** δ' … θερμὰ **648** om. Iv **651** σφε ἔπεσσιν aut μιν ἔπεσσιν **662** γέρον **663** τε

i21.74† γουνοῦμαί ⸢σε ἄναξ⸣, σὺ δέ μ' αἴδεο καί μ' ἐλέησον.
i21.75 ἀντί τοί εἰμ' ἱκέταο, διοτρεφὲς, αἰδοίοιο.
i21.76 πὰρ γὰρ σοὶ πρώτῳ πασάμην Δημήτερος ἀκτήν."
cf. i1.453 ὣς φάτο· τοῦ δ' ἔκλυε μέγας θεὸς εὐξαμένοιο.
i7.108 δεξιτερῆς δ' ἕλε χειρὸς ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζεν
i11.441 "ἆ δειλ', ἦ μάλα δή σε κιχάνεται αἰπὺς ὄλεθρος.
i20.360 ἀλλ' ὅσσον μὲν ἐγὼ δύναμαι χερσίν τε ποσίν τε
i20.361* καὶ σθένει, οὔ σ' ἔτι φημὶ μεθησέμεν οὐδ' ἠβαιόν.
*i2.174* οὕτω δὴ οἰκόνδε φίλην ἐς πατρίδα γαῖαν
o13.6* ἆψ ἀπονοστήσεις, εἰ καὶ μάλα πολλὰ πέπονθας.
i21.331 ὄρσεο, κυλλοπόδιον, ἐμὸν τέκος. ἄντα σέθεν γὰρ
o11.483 οὔ τις ἀνὴρ προπάροιθε μακάρτατος οὔτ' ἄρ' ὀπίσσω
o10.286 ἀλλ' ἄγε δή σε κακῶν ἐκλύσομαι ἠδὲ σαώσω,
o22.373 ὄφρα γνῷς κατὰ θυμόν, ἀτὰρ εἴπῃσθα καὶ ἄλλῳ,
o22.374 ὡς κακοεργίης εὐεργεσίη μέγ' ἀμείνων.
i18.178 ἀλλ' ἄνα, μηδ' ἔτι κεῖσο. σέβας δέ σε θυμὸν ἱκέσθω.
o4.612 τοιγὰρ ἐγώ τοι ταῦτα μεταστήσω· δύναμαι γάρ."
o2.6† αἶψα δὲ κηρύκεσσι λιγυφθόγγοισιν ⸢ἔειπεν⸣,
o18.414 "ὦ φίλοι, οὐκ ἂν δή τις ἐπὶ ῥηθέντι δικαίῳ
o18.415 ἀντιβίοις ἐπέεσσι καθαπτόμενος χαλεπαίνοι.
o18.416 μήτέ τι τὸν ξεῖνον στυφελίζετε μήτε τιν' ἄλλον."
i15.262 + 572 ὣς εἰπὼν ἔπνευσε μένος μέγα. τὸν δ' ὀρόθυνεν·
i17.569@ ἐν δὲ βίην ὤμοισι καὶ ἐν ⸢γούνασιν⸣ ἔθηκε,
o11.394 οἵη περ πάρος ἔσκεν ἐνὶ γναμπτοῖσι μέλεσσι,
o8.135* μηροῖς τε κνήμαις τε καὶ ἄμφω χερσὶν ὕπερθεν.
i13.62 αὐτὸς δ' ὥς τ' ἴρηξ ὠκύπτερος ὦρτο πέτεσθαι.
o15.271 τὸν δ' αὖτε προσέειπε θεοκλύμενος θεοειδής,
o2.303† "⸢ὦ φίλε⸣ ὑψαγόρη, μένος ἄσχετε, μή τί τοι ἄλλο
o2.304 ἐν σήθεσσι κακὸν μελέτω ἔργον τε ἔπος τε."
i1.601 ὣς τότε μὲν πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα
*i15.369* χεῖρας ἀνίσχοντες μεγάλ' εὐχετόωντο ἕκαστος.

**664** σ' Ἀχιλεῦ **681** κέλευσε **686** γούνεσσιν **691** Τηλέμαχ'

*περὶ τοῦ ἐν τῇ στοᾷ Σολομῶντος ἑτέρου παραλύτου*

ἠέλιος μὲν ἔπειτα νέον προσέβαλλεν ἀρούρας. o19.433
αὐτὰρ ὁ τῶν ἄλλων ἐπεπωλεῖτο στίχας ἀνδρῶν. *i11.540*
πάντηνεν δ' ἄρ' ἔπειτα κατὰ στίχας, αὐτίκα δ' ἔγνω i17.84
γήραϊ τειρόμενον, μέγα δ' ⌜ἐν⌝ φρεσὶ πένθος ἔχοντα. o24.233†
οὐ γὰρ ἔτ' ἔμπεδα γυῖα ποδῶν ἦν ⌜ὁρμηθῆναι⌝, i13.512@
οὐδέ τι κινῆσαι μελέων ἦν οὐδ' ἀναεῖραι. o8.298
ἔγνω δ' αὐτίκα κεῖνον, ἐπεὶ ἴδεν ὀφθαλμοῖσι. o11.615*
καί μιν λισσόμενος ἔπεα πτερόεντα προσηύδα, *o22.366*
δάκρυ ἀναπρήσας· οἶκτος δ' ἕλε λαὸν ἅπαντα. o2.81
"εἰ μὲν δὴ θεός ἐσσι, θεοῖό τε ἔκλυες αὐδῆς, o4.831
πρὸς δ' ἐμὲ τὸν δύστηνον ἔτι φρονέοντ' ἐλέησον. i22.59
οὐ γὰρ ἔτ' ἔμπεδα γυῖα, φίλος, πόδες, οὐδέ τι χεῖρες i23.627
ὤμων ⌜ἀμφοτέρωθεν⌝ ἀπαΐσσονται ἐλαφραί. i23.628†
ἔνθεν δὴ νῦν δεῦρο τόδ' ⌜ἥκω⌝ πήματα πάσχων. *o17.444@*
αὐτὸς δ' αἴ κ' ἐθέλῃς ἰήσεαι, οὐδέ τις ἄλλος. o9.520*
εἴθ' ὣς ἡβώοιμι, βίη δέ μοι ἔμπεδος εἴη." i7.157
ὣς ἄρ' ἔπειτ' ἠρᾶτο καὶ αὐτὸς πάντα τελεύτα. o3.62*
τόν δ' ⌜αὖ γε⌝ προσέειπε θεοκλύμενος θεοειδής, o15.271†
"ταῦτά τοι, ὦ δύστηνε, τελευτήσω τε καὶ ἔρξω." o11.80
αὐτίκ' ἔπειθ' ἅμα μῦθος ἔην, τετέλεστο δὲ ἔργον. i19.242
γυῖα δὲ θῆκεν ἐλαφρά, πόδας καὶ χεῖρας ὕπερθεν. i13.61
ἐν δὲ βίην ὤμοισι καὶ ἐν ⌜γούνασιν⌝ ἔθηκε. i17.569@
βῆ δ' ἴμεν ὥς τε λέων ὀρεσίτροφος ἀλκὶ πεποιθώς, i12.299 + 17.61
καγχαλόων, ταχέες δὲ πόδες φέρον. αἶψα δ' ἔπειτα i6.514
ὑψόσ' ⌜ἀνέσχετο⌝ ⌜λέκτρα⌝ καὶ εὐχόμενος δ' ἔπος ηὔδα. i10.461@†
θάμβησαν δὲ καὶ ἄλλοι, ἐς ἀλλήλους δὲ ἴδοντο. i24.484
καί ῥ' ἦγον προτὶ ἄστυ, ἀέλποντες σόον εἶναι. i7.310
ὧδε δέ τις εἴπεσκεν ἰδὼν ἐς πλησίον ἄλλον, o21.396

**698** om. Hom **699** ὁρμηθέντι **707** ἀμφοτέρωθεν Hom : ἀμφοτέρων ἐπ- Iv **708** ἵκω **712** αὖτε **716** γούνεσσιν **719** ἀνέσχεθε … χειρί : καὶ deest in Iv **721** ἀελπτέοντες Hom

o18.36 "ὦ φίλοι, οὐ μέν πώ τι πάρος τοιοῦτον ἐτύχθη,
o4.269 ἀλλ' οὔ πω τοιοῦτον ἐγὼν ἴδον ὀφθαλμοῖσιν.
o4.267 ἤδη μὲν πολέων ἐδάην βουλήν τε νόον τε.
o16.196 οὐ γάρ πως ἂν θνητὸς ἀνὴρ τάδε μηχανόῳτο
o3.275 ἐκτελέσας μέγα ἔργον, ὃ οὔ ποτε ἔλπετο θυμῷ."

*περὶ τῆς θυγατρὸς τοῦ ἑκατοντάρχου*

i9.707 αὐτὰρ ἐπεί κε φανῇ καλὴ ῥοδοδάκτυλος Ἠώς,
i20.229 * ἄκρον ἐπὶ ῥηγμῖνος ἁλὸς πολιοῖο θέεσκε.
o12.166 τόφρα δὲ καρπαλίμως ἐξίκετο νηῦς εὐεργὴς
o13.115 σπερχομένη. τοίων γὰρ ἐπείγετο χέρσ' ἐρετάων.
i1.481 ἐν δ' ἄνεμος πρῆσεν μέσον ἱστίον, ἀμφὶ δὲ κῦμα
i1.482 στείρῃ πορφύρεον μεγάλ' ἴαχε νηὸς ἰούσης.
i1.483 ἡ δ' ἔθεεν κατὰ κῦμα διαπρήσσουσα κέλευθον.
o13.86 ἡ δὲ μάλ' ἀσφαλέως θέεν ἔμπεδον. οὐδέ κεν ἴρηξ
o13.87 κίρκος ὁμαρτήσειεν, ἐλαφρότατος πετεηνῶν.
o13.88 ὣς ἡ ῥίμφα θέουσα θαλάσσης κύματ' ἔτεμνεν,
o13.89 * ἄνδρα φέρουσα θεῷ ἐναλίγκια μήδε' ἔχοντα.
o5.56 ἔνθ' ἐκ πόντου βὰς ἰοειδέος ἤπειρόνδε,
i10.339 βῆ ῥ' ἀν' ὁδὸν μεμαώς. τὸν δὲ φράσατο προσιόντα
i2.468 † ⸢πληθύς⸣, ὅσσά τε φύλλα καὶ ἄνθεα γίνεται ὥρῃ,
i9.503 * @ χωλοί τε ῥυσσοί τε παραβλῶπές τ' ⸢ὀφθαλμῶν⸣,
o11.38 νύμφαι τ' ἠΐθεοί τε πολύτλητοί τε γέροντες.
o19.379 † πολλοὶ ⸢δὲ⸣ ξεῖνοι ταλαπείριοι ἐνθάδ' ἵκοντο.
i4.450 ἔνθα δ' ἅμ' οἰμωγή τε καὶ εὐχωλὴ πέλεν ἀνδρῶν.
i4.231 αὐτὰρ ὁ πεζὸς ἐὼν ἐπεπωλεῖτο στίχας ἀνδρῶν.
i18.380 ὄφρ' ὅ γε ταῦτ' ἐπονεῖτο ἰδυίῃσι πραπίδεσσι,
i17.466 † ⸢τόφρα⸣ δὲ δή μιν ἑταῖρος ἀνὴρ ἴδεν ὀφθαλμοῖσιν.
o4.24 βῆ δ' ἴμεν ἀγγελέων διὰ δώματα ποιμένι λαῶν,

**726** μηχανόωντο Ιν **741** μύριοι **742** ὀφθαλμώ **744** δὴ **747** εἰδ- Ιν **748** ὀψὲ

δάκρυα θερμὰ χέων, φάτο δ' ἀγγελίην ἀλεγεινήν. i18.17
καί μιν φωνήσας ἔπεα πτερόεντα προσήυδα, o1.122
"πεύσεαι ἀγγελίης, ἣ μὴ ὤφελλε γενέσθαι. i18.19
⸢παρθένος αἰδοίη⸣, Χαρίτων ἄπο κάλλος ἔχουσα, o6.18 * †
ἣν περὶ κῆρι φίλησε πατὴρ καὶ πότνια μήτηρ, i13.430 *
λίην γὰρ πινυτή τε καὶ εὖ φρεσὶ μήδεα οἶδε. o11.445
ἥ μ' ἐφίλει τ' ἐκόμει τε· τί τοι τόδε μυθολογεύω; o12.450 *
νούσῳ ὑπ' ἀργαλέῃ φθίνεται οἷς ἐν μεγάροισιν i13.667 *
λευγαλέῳ θανάτῳ, ὡς μὴ θάνοι ὅς τις ἔμοιγε o15.359
ἐνθάδε ναιετάων φίλος εἴη καὶ φίλα ἔρδοι. o15.360
ταῦτά τοι ἀχνύμενός περ, ἀληθείην κατέλεξα. o7.297
ἀλλ' ἄγε δεῦρο, ἄναξ, ἵν' ἔπος καὶ μῦθον ἀκούσῃς." o11.561
τόνδ' αὖτε προσέειπε θεοκλύμενος θεοειδής· o15.271
"⸢ὡς⸣ οὐκ ἔσθ' ὅδε μῦθος ἐτήτυμος ὡς ἀγορεύεις, o23.62†
ἀλλ' ἴομεν, μὴ δηθὰ διατρίβωμεν ὁδοῖο. o2.404
οὔ τοι ἔπειθ' ἁλίη ὁδὸς ἔσσεται οὐδ' ἀτέλεστος. o2.273
θάρσει· μή τοι ταῦτα μετὰ φρεσὶ σῇσι μελόντων. o16.436
καὶ γάρ μιν θανάτοιο δυσηχέος ὧδε δυναίμην i18.464
νόσφιν ἀποκρύψαι, ὅτε μιν μόρος αἰνὸς ἱκάνοι. i18.465
ἀλλ' ἄγ', ἐγὼν αὐτὸς πειρήσομαι ἠδὲ ἴδωμαι." o6.126
ὣς εἰπὼν ἄλλους μὲν ἀπεσκέδασ' ἄλλυδις ἄλλῃ i19.309 + o11.385
βῆ δ' ἴμεναι προτέρως. ἑτέρηφι δὲ λάζετο Πέτρον, cf. *o 15.109* + i16.734
ὅς οἱ κήδιστος ἑτάρων ἦν κεδνότατός τε· o10.225
ἄλλους θ', οἵ οἱ κεδνότατοι καὶ φίλτατοι ἦσαν. cf. i9.586
⸢αὐτὰρ ἐπεί ῥ'⸣ ἵκανε δόμους εὖ ναιετάοντας, *i6.370*†
καρπαλίμως ὑπὲρ οὐδὸν ἐβήσατο δώματος εἴσω. o7.135
ἐν δὲ θρόνοι περὶ τοῖχον ἐρηρέδατ' ἔνθα καὶ ἔνθα o7.95
ἑζέσθην ⸢δ'⸣ ἂρ ἔπειτα κατὰ κλισμούς τε θρόνους τε. o15.134†
αἶψα ⸢δ' ἂρ⸣ εἴσβαινον καὶ ἐπὶ κληῖσι κάθιζον· o15.221†
καδδραθέτην ⸢δ'⸣ οὐ πολλὸν ἐπὶ χρόνον, ἀλλὰ μίνυνθα. o15.494

**753** πὰρ δὲ δύ' ἀμφίπολοι **763** ἀλλ' **767** αἴ **774** αἶψα δ' ἔπειθ' **777** τ' Iv **778** δ' ἄρ Hom : δ' οἵ γε Iv **779** δ' deest in Iv

i22.408 ᾤμωξεν δ' ἐλεεινὰ πατὴρ φίλος, ἀμφὶ δὲ λαοὶ
i22.409 κωκυτῷ τ' εἴχοντο καὶ οἰμωγῇ κατὰ ἄστυ.
i24.166 θυγατέρες δ' ἀνὰ δώματα ἰδὲ νυοὶ ὠδύροντο
i22.79 μήτηρ δ' αὖθ' ἑτέρωθεν ὀδύρετο δάκρυ χέουσα
o15.364@ θυγατέρ' ⌜ἰφθίμην⌝, τὴν ὁπλοτάτην τέκε παίδων.
o10.323 ἡ δὲ μέγα ἰάχουσα ὑπέδραμε καὶ λάβε γούνων
o4.719 οἴκτρ' ὀλοφυρομένη. περὶ δὲ δμῳαὶ μινύριζον
o4.720 πᾶσαι, ὅσαι κατὰ δώματ' ἔσαν νέαι ἠδὲ παλαιαί.
o15.461 τὸν μὲν ἄρ ἐν μεγάρῳ δμῳαὶ καὶ πότνια μήτηρ
o15.462 χερσίν τ' ἀμφαφόωντα καὶ ὀφθαλμοῖσιν ὁρῶντο
i13.658 * ἀχνύμεναι. μετὰ δέ σφι πατὴρ κίε δάκρυα λείβων.
o4.716 * τὸν δ' ἄχος ἀμφεχύθη θυμοφθόρον, οὐδ' ἄρ' ἔτ' ἔτλη.
o15.271 τὸν δ' αὖτε προσέειπε θεοκλύμενος θεοειδής,
i24.518 "ἆ δεῖλ', ἦ δὴ πολλὰ κάκ' ἄνσχεο σὸν κατὰ θυμόν.
*i24.181*† ⌜μηκέτι⌝ τοι θάνατος μελέτω φρεσὶ μηδέ τι ⌜θυμῷ⌝
o7.51 τάρβει· θαρσαλέος γὰρ ἀνὴρ ἐν πᾶσιν ἀμείνων
o7.52 ἔργοισιν τελέθει, εἰ καί ποθεν ἄλλοθεν ἔλθοι.
o4.794† εὗδε ⌜τ' ἀνακλιθεῖσα⌝, λύθεν δέ οἱ ἅψεα πάντα,
o4.809 ἡδὺ μάλα κνώσσουσ' ἐν ὀνειρείῃσι πύλῃσιν."
i2.270 οἱ δὲ καὶ ἀχνύμενοί περ ἐπ' αὐτῷ ἡδὺ γέλασσαν.
o17.67 αὐτὰρ ὁ τῶν μὲν ἔπειτα ἀλεύατο πουλὺν ὅμιλον,
o8.312 + 4.36 + 1.120 ἀλλὰ τοκῆε δύω προτέρω ἄγεν· ἐγγύθι δὲ στὰς
o1.121 + o4.803 χεῖρ' ἕλε δεξιτερὴν καί μιν πρὸς μῦθον ἔειπεν,
i18.178† "⌜ὄρσεο⌝, μηδ' ἔτι κεῖσο· σέβας δέ σε θυμὸν ἱέσθω."
o22.398 ὣς ἄρ' ἐφώνησεν, τῇ δ' ἄπτερος ἔπλετο μῦθος.
i23.235 + *6.66* ἕζετο δ' ὀρθωθείς· ὁ δ' ἐκέκλετο μακρὸν ἀΰσας·
o4.801 * "παύεσθον κλαυθμοῖο γόοιό τε δακρυόεντος.
*o6.209*† ⌜καί τε⌝ δότ', ἀμφίπολοι, ⌜κούρῃ⌝ βρῶσίν τε πόσιν τε."
i6.471 ἐκ δ' ἐγέλασσε πατήρ τε φίλος καὶ πότνια μήτηρ.
i4.292 ὣς εἰπὼν τοὺς μὲν λίπεν αὐτοῦ, βῆ δὲ μετ' ἄλλους.

**783** αὖ Iν **784** ἰφθίμῃ **794** μὴ δέ τι … τάρβος **797** δ' … ἀνακλινθεῖσα Hom **803** ἀλλ' ἄνα **807** ἀλλὰ … ξείνῳ

πληθὺν δ' οὐκ ἂν ἐγὼ μυθήσομαι οὐδ' ὀνομήνω. i2.488
κλαῖον δὲ λιγέως, θαλερὸν κατὰ δάκρυ χέοντες o10.201
λισσόμενοι· χρειὼ γὰρ ἱκάνετον. ⌜αὐτὰρ ὁ πάντων⌝ *i10.118*∗†
χεῖρα ἑὴν ὑπερέσχε· τεθαρσήκασι δὲ λαοί. *i9.687*
ἄνδρες δ' ⌜αἶψ'⌝ ἐγένοντο νεώτεροι ἢ πάρος ἦσαν, o10.395@
καὶ πολὺ καλλίονες καὶ μείζονες εἰσοράασθαι. o10.396
τόφρα δέ οἱ κομιδή γε θεῷ ὣς ἔμπεδος ἦεν. o8.453

*περὶ τοῦ χωλοῦ τοῦ καὶ ξηρὰν ἔχοντος χεῖρα*

ὀψὲ δὲ δή μιν ἑταῖρος ἀνὴρ ἴδεν ὀφθαλμοῖσιν i17.466
χωλεύων· ὑπὸ δὲ κνῆμαι ῥώοντο ἀραιαί. i18.411
κλαῖε ⌜δέ κεν⌝ λιγέως, θαλερὸν κατὰ δάκρυον εἴβων. o11.391†
αὐτὸς δ' ἐν κονίῃσι μέγας μεγαλωστὶ τανυσθεὶς i18.26
κεῖτο, φίλῃσι δὲ χερσὶ κόμην ᾔσχυνε δαΐζων. i18.27
πολλὰς ⌜δ'⌝ ἐκ κεφαλῆς προθελύμνους ἕλκετο χαίτας i10.15†
⌜αὐτοῦ⌝ δὲ προπάροιθε ποδῶν πέσεν ἐν κονίῃσι. i13.205†
αὐτὰρ ὁ τῇ ἑτέρῃ ⌜μιν⌝ ἑλὼν ἐλλίσσετο γούνων. i21.71†
καί μιν λισσόμενος ἔπεα πτερόεντα προσηύδα, *o22.311*
"κλῦθι, ἄναξ, ὅτις ἐσσί· πολύλλιστον δέ σ' ἱκάνω. o5.445
οὔτε γάρ ἐσσ' ἄφρων οὔτ' ἄσκοπος οὔτ' ἀλιτήμων, *i24.157*∗
ἀλλὰ μάλ' ⌜ἐνδυκέως⌝ ἱκέτεω πεφιδήσεαι ἀνδρός. *i24.158*†∗
καί μοι δὸς τὴν χεῖρ', ὀλοφύρομαι· οὐ γὰρ ἔτ' ⌜ἄλλον⌝ i23.75†
ἤπιον ὧδε ἄνακτα κιχήσομαι, ὁππόσ' ἐπέλθω, o14.139
οὐδ' εἴ κεν πατερὸς καὶ μητέρος αὖτις ἵκωμαι o14.140
οἶκον, ὅθι πρῶτον γενόμην καί μ' ἔτρεφον αὐτοί. o14.141
τοὔνεκα νῦν τὰ σὰ γούναθ' ἱκάνομαι, αἴ κ' ἐθέλῃσθα o4.322
καὶ γὰρ ἐγὼ ξεῖνος ταλαπείριος ἐνθάδ' ἱκάνω o7.24
τηλόθεν ἐξ ἀπίης γαίης· τῷ οὔ τινα οἶδα o7.25

**810** πάντα μὲν **812** ἱκάνετον Iv (cf. i9.197) ... οὐκέτι ἀνέκτος **814** ἄψ **819** δ' ὅ γε **821** χειρσὶ Iv **822** om. Hom **823** Ἕκτορι **824** μεν **828** ἐνδυκέως Steph, Hom : ἐνδικαίως Iv **829** αὖτις

o 7.26 ἀνθρώπων, οἳ τήνδε πόλιν καὶ ἔργα νέμονται.
o 11.182 † * ⌜ἧμαι δ' ἐν⌝ μεγάροισι· ὀϊζυραὶ δέ μοι αἰεὶ
o 11.183 * φθίνουσιν ὑκτες τε καὶ ἤματα δακρυ χέοντι.
o 8.182 νῦν δ' ἔχομαι κακότητι καὶ ἄλγεσι· πολλὰ γὰρ ἔτλην.
o 12.350 βούλομ' ἅπαξ πρὸς κῦμα χανὼν ἀπὸ θυμὸν ὀλέσσαι,
i 15.512 + cf. 18.81 ἢ δηθὰ στρεύγεσθαι δύῃ ἀρημένος αἰνῇ.
o 5.450 ἀλλ' ἐλέαιρε, ἄναξ· ἱκέτης δέ τοι εὔχομαι εἶναι.
i 23.770 * † κλῦθι, ⌜ἄναξ⌝, ἀγαθός μοι ἐπίρροθος ἐλθὲ ποδοῖιν.
o 8.147 οὐ μὲν γὰρ μεῖζον κλέος ἀνέρος ὄφρά κεν ᾖσιν
o 8.148 ἢ ὅ τι ποσσίν τε ῥέξῃ καὶ χερσὶν ἑῇσιν."
cf. i 1.453 ὣς φάτο· τοῦ δ' ἔκλυε μέγας θεὸς εὐξαμένοιο.
i 5.417 ἄλθετο χεὶρ, ὀδύναι δὲ κατηπιόωντο βαρεῖαι.
o 23.3 γούνατα δ' ἐρρώσαντο, πόδες δ' ὑπερικταίνοντο.
i 15.269 † ὣς ⌜δ' ἄρ ὅ κεν⌝ λαιψηρὰ πόδας καὶ γούνατ' ἐνώμα,
i 15.263 ὡς ὅτε τις στατὸς ἵππος, ἀκοστήσας ἐπὶ φάτνῃ,
i 21.247 ἤϊξεν πεδίοιο ποσὶ κραιπνοῖσι πέτεσθαι.

*περὶ τοῦ τυφλοῦ*

o 21.327 † ⌜ἄλλος δ' αὖτις⌝ πτωχὸς ἀνὴρ ἀλαλήμενος ἐλθὼν
i 17.139 ἑστήκει, μέγα πένθος ἐνὶ στήθεσσιν ἀέξων.
i 20.421 ⌜καδδέ⌝ οἱ ὀφθαλμῶν κέχυτ' ἀχλύς· οὐδ' ἄρ' ἔτ' ἔτλη
i 5.786 ὃς τόσον αὐδήσασχ' ὅσον ἄλλοι πεντήκοντα
i 10.10 νειόθεν ἐκ κραδίης, τρομέοντο δέ οἱ φρένες ἐντός.
o 5.428 † ἀμφοτέρῃσι δὲ χερσὶν ἐπεσσύμενος λάβε ⌜γούνων⌝,
*i 10.118* * λισσόμενος· χρειὼ γὰρ ἱκάνετον οὐκέτ' ἀνεκτός.
*o 16.22* καί ῥ' ὀλοφυρόμενος ἔπεα πτερόεντα προσηύδα,
o 4.831 "εἰ μὲν δὴ θεός ἐσσι, θεοῖό τε ἔκλυες αὐδῆς,
i 3.97 * κέκλυθι νῦν καὶ ἐμεῖο· μάλιστα γὰρ ἄλγος ἱκάνει.
o 10.190 * † ὦ ⌜ἄνα⌝, οὐ γὰρ ἴσημι ὅπῃ ζόφος οὐδ' ὅπῃ ἠώς,

**837** σοῖσιν ἐνὶ **843** θεά **849** Ἕκτωρ **852** ἀλλ' ἄλλος τις **854** κάρ ῥά **857** πέτρης **858** ἱκάνετον Iv (cf. i 9.197) **862** φίλοι

οὐδ' ὅπῃ ἠέλιος φαεσίμβροτος εἶσ' ὑπὸ γαῖαν, o 10.191
οὔθ' ὁπότ' ἂν στείχῃσι πρὸς οὐρανὸν ἀστερόεντα, o 11.17
οὔθ' ὅτ' ἂν ἂψ ἐπὶ γαῖαν ἀπ' οὐράνοθεν προτράπηται. o 11.18
ποίησον δ' αἴθρην, δὸς δ' ὀφθαλμοῖσιν ἰδέσθαι i 17.646
ἠέλιόν τε ἀκάμαντα σελήνην τε πλήθουσαν. i 18.484
γῆς ἐπέβην, ἀλλ' αἰὲν ἔχων ἀλάλημαι ὀϊζύν· o 11.167
οὔτέ μοι ὀξύτατον κεφαλῆς ἒκ δέρκεται ὄσσε. i 23.477 *
αὐτὸς δ', αἴ κ' ἐθέλῃσ', ἰήσεαι, οὐδέ τις ἄλλος. o 9.520 *
εἰ δέ κε νοστήσω καὶ ἐσόψομαι ὀφθαλμοῖσι i 5.212
πατρίδ' ἐμὴν ἄλοχόν τε καὶ ὑψερεφὲς μέγα δῶμα i 5.213
ὡς οὐδὲν γλύκιον ἧς πατρίδος ⌜ἠδὲ⌝ τοκήων o 9.34 †
γίνεται, εἴ περ καί τις ἀπόπροθι πίονα οἶκον o 9.35
γαίῃ ἐν ἀλλοδαπῇ ναίει ἀπάνευθε τοκήων. o 9.36
ἀλλά, ἄναξ, ἐλέαιρε. σὲ γὰρ κακὰ πολλὰ μογήσας, o 6.175 *
ἐς πρῶτον ἱκόμην. τῶν δ' ἄλλων οὔ τινα οἶδα o 6.176 *
ἀνθρώπων, οἳ τήνδε πόλιν καὶ γαῖα ἔχουσιν. o 6.177
σούς τε πόδας σά τε γούναθ' ἱκάνω πολλὰ μογήσας, o 7.147 *
ὥς κἀμὲ τὸν δύστηνον ἐμῆς ἐπιβήσεο πάτρης o 7.223
καίπερ πολλὰ παθόντα· ἰδόντα με καὶ λίποι αἰών. o 7.224
τοὔνεκα νῦν τὰ σὰ γούναθ' ἱκάνομαι, αἴ κ' ἐθελῃσθα o 4.322
αὐτόν ⌜με⌝ ζώειν καὶ ὁρᾶν φάος ἠελίοιο." i 24.558 †
  ὣς φάτο· τοῦ δ' ἄρα θυμὸν ἐνὶ στήθεσσιν ὄρινε. *i 11.804* *
τόν δ' αὖτε προσέειπε Θεοκλύμενος θεοειδὴς, o 15.271
"ὦ φίλ', ἐπεὶ τόσα εἶπες ὅσ' ἂν πεπνυμένος ἀνήρ, o 4.204
οὕνεκ' ἐπητής ⌜τ'⌝ ἐσσὶ καὶ ἀγχίνοος καὶ ἐχέφρων, o 13.332 @
οὐδέ τί πω παρὰ μοῖραν ἔπος νηκερδὲς ἔειπες. o 14.509
γινώσκω δὲ καὶ αὐτὸς ὅ ⌜τι⌝ πινυτὴ φρένας ἵκει, o 20.228 * @
θάρσει, μηδέ τι πάγχυ μετὰ φρεσὶ δείδιθι λίην. o 4.825
⌜θάρσει⌝· ἐμοὶ δέ κε ταῦτα μελήσεται, ὄφρα τελέσσω. i 1.523 †
ἤδη γάρ μοι θυμὸς ἐπέσσυται ὄφρ' ἐπαμύνω. i 6.361
γνοίης χ' οἵη ἐμὴ δύναμις καὶ χεῖρες ἕποντο· o 20.237 *

**873** οὐδὲ **880** κ' ἐμὲ **883** τε **887** om. Hom **889** τοι **891** Ἥρη

i15.53† ἀλλ' εἰ δή ῥ' ⌜ἐθέλῃσθα⌝ καὶ ἀτρεκέως ἀγορεύεις,
o6.314@ ἐλπωρή τοι ἔπειτα φίλους τ' ἰδέειν καὶ ἱκέσθαι
o6.314 * οἶκον ἐϋκτίμενον καὶ ἑὴν ἐς πάτριδα γαῖαν.
o13.331 τῷ σε καὶ οὐ δύναμαι προλιπεῖν δύστηνον ἐόντα,
o13.332@ οὕνεκ' ἐπήτης ⌜τ'⌝ ἐσσὶ καὶ ἀγχίνοος καὶ ἐχέφρων.
o23.287† ⌜ἔλπεο δή⌝ τοι ἔπειτα κακῶν ὑπάλυξιν ἔσεσθαι
o15.538 ἐξ ἐμεῦ, ὡς ἄν τίς σε συναντόμενος μακαρίζοι.
i4.353 ὄψεαι, ἢν ἐθέλῃσθα καὶ αἴ κέν τοι τὰ μεμήλῃ
o23.6 ὀφθαλμοῖσι τεοῖσι τά τ' ἔλδεαι ἤματα πάντα.
i24.549 ἄνσχεο, μηδ' ἀλίαστον ὀδύρεο σὸν κατὰ θυμόν.
o10.65 * ἦ μέν σ' ἐνδυκέως ἀποπέμπομαι, ὄφρ' ἂν ἵκηαι
o7.194 * χαίρων καρπαλίμως, εἰ καὶ μάλα τηλόθεν ἐσσί,
o10.66 * πατρίδα σὴν καὶ δῶμα, καὶ εἴ πού τοι φίλον εἴη.
i9.612 μή μοι σύγχει θυμὸν ὀδυρόμενος καὶ ἀχεύων."
i19.242 αὐτίκ' ἔπειθ' ἅμα μῦθος ἔην, τετέλεστο δὲ ἔργον.
i17.649 * αὐτίκα δ' ἠέρα μὲν σκέδασεν καὶ ἀπώσατ' ὀμίχλην.
i5.127 * ἀχλὺν δ' αὖ τοι ἀπ' ὀφθαλμῶν ἕλεν, ἣ πρὶν ἐπῆεν,
i20.342 θεσπεσίην. ὁ δ' ἔπειτα μέγ' ἔξιδεν ὀφθαλμοῖσιν
i20.58 γαῖαν ἀπειρεσίην ὀρέων τ' αἰπεινὰ κάρηνα,
i17.674 πάντοσε παπταίνων ὥς τ' αἰετός, ὅν ῥά τέ φασιν
i17.675 ὀξύτατον δέρκεσθαι ὑπουρανίων πετεηνῶν.
o15.271 τὸν δ' αὖτε προσέειπε θεοκλύμενος θεοειδής,
o11.251 "νῦν δ' ἔρχευ πρὸς δῶμα, καὶ ἴσχεο μηδ' ὀνομήνῃς
o13.308 μηδέ τῳ ἐκφάσθαι μήτ' ἀνδρῶν μήτε γυναικῶν."
o4.521 ἦ τοι ὁ μὲν χαίρων ἐπιβήσατο πατρίδος αἴης,
o4.522 καὶ κύνει ἁπτόμενος ἣν πατρίδα. πολλὰ δ' ἀπ' αὐτοῦ
o4.523 δάκρυα θερμὰ χέοντ', ἐπεὶ ἀσπασίως ἴδε γαῖαν.
i24.484 * † θάμβησαν ⌜δ' ἄρα πάντες ἐπ' ἀλλήλοισιν⌝ ἰδόντες.
i1.472 οἱ δὲ πανημέριοι μολπῇ θεὸν ἱλάσκοντο
i5.448 ἐν μεγάλῳ ἀδύτῳ ἀκέοντό τε κύδαινόν τε.

**894** ἐτεόν γε **898** om. Hom **899** ἐλπωρή **921** δὲ καὶ ἄλλοι ἐς ἀλλήλους δε

*περὶ τοῦ δαιμονῶντος*

ἀλλ’ ἄλλος τις πτωχὸς ἀνὴρ ἀλαλήμενος ἐλθὼν o21.327
δεσμῷ ἐν ἀργαλέῳ δέδετο, κρατέρ’ ἄλγεα πάσχων. o15.232
φοίτα ⸢δὲ⸣ μακρὰ βιβάς, φωνὴ δέ οἱ αἰθέρ’ ἱκάνεν. i15.686†
στὰς δ’ ὅτε μὲν παρὰ τάφρον ὀρυκτὴν τείχεος ἐκτός, i20.49*
ἄλλοτ’ ἐπ’ ἀκτάων ἐριδούπων μακρὸν ἀΰτει. i20.50
ἤτοι ὁ κὰπ πεδίον τὸ ἀλήϊον οἶος ἀλᾶτο, i6.201
ὃν θυμὸν κατέδων, πάτον ἀνθρώπων ἀλεείνων, i6.202
δηρὸν τηκόμενος, στυγερὸς ⸢τέ⸣ οἱ ἔχραε δαίμων. o5.396@
ἀφλοισμὸς δὲ περὶ στόμα γίνετο, τὼ δέ οἱ ὄσσε i15.605
δεινὸν ὑπὸ βλεφάρων ὡς εἰ σέλας ἐξεφάανθεν. i19.17
χαῖται δ’ ἐρρώοντο μετὰ πνοίῃς ἀνέμοιο. i23.367
αἰεὶ δ’ ἀργαλέῳ ἔχετ’ ἄσθματι, κὰδ δέ οἱ ἱδρὼς i16.109
πάντοθεν ἐκ μελέων πολὺς ἔρρεεν, οὐδέ πῃ εἶχεν i16.110
ἀμπνεῦσαι· πάντῃ δὲ κακὸν κακῷ ἐστήρικτο. i16.111
τὸν δ’ ἄτη φρένας εἷλε, λύθεν δ’ ὕπο φαίδιμα γυῖα. i16.805
ἤριπε δ’ ἐξοπίσω, ἀπὸ δὲ ψυχὴν ἐκάπυσσε. i22.467
κὰδ δ’ ἔπεσ’ ἐν κονίῃσι μακών, σὺν δ’ ἤλασ’ ὀδόντας o18.98
λακτίζων ποσὶ γαῖαν. ἀτὰρ μνηστῆρες ἀγαυοὶ o18.99
χεῖρας ἀνασχόμενοι μεγάλ’ εὐχετόωντο ἕκαστος. *i15.369**
ἀγχίμολον δὲ σύες τε καὶ ἀνέρες ἦλθον ὑφορβοί. o14.410
κλαγγὴ δ’ ἄσπετος ὦρτο συῶν αὐλιζομενάων. o14.412
ἀλλὰ καὶ ὣς δρηστῆρες ἄγον ⸢σώζοντες⸣ ἀνάγκῃ o18.76†
δειδιότα· σάρκες δὲ περιτρομέοντο μέλεσσιν. o18.77
τὸν δὲ ἰδὼν ᾤκτειρε ⸢θεὸς καί μιν προσέειπε⸣, i23.534†
“τίς πόθεν εἰς ἀνδρῶν, ὅ μευ ἔτλης ἀντίον ἐλθεῖν; i21.150*
δυστήνων δέ τε παῖδες ἐμῷ μένει ἀντιόωσι. i21.151
δαιμόνιε, σχεδὸν ἐλθέ· τίη δειδίσσεαι ⸢οὕτως⸣; i13.810@
δαιμόνιε, φθίσει σε τὸ σὸν μένος, οὐδ’ ἐλεαίρεις i6.407

**926** om. Hom **931** δέ **945** ζώσαντες **947** ποδάρκης δῖος Ἀχιλλεὺς **950** αὔτως

o18.81 ἄνδρα γέροντα, δύῃ ἀρήμενον, ἥ μιν ἱκάνει,
o7.218 καὶ μάλα τειρόμενον καὶ ἐνὶ φρεσὶ πένθος ἔχοντα.
i17.29 ὥς θην καὶ σὸν ἐγὼ λύσω μένος, εἴ κέ μευ ἄντα
i17.30 στήῃς· ἀλλά σ' ἔγωγ' ἀναχωρήσαντα κελεύω
i17.31 ἐς πληθὺν ἰέναι, μηδ' ἀντίος ἵστασ' ἐμεῖο.
*o15.339* * πέμπω δ' ὅππῃ σε κραδίη θυμός τε κελεύει."
o10.229 ὣς ἄρ' ἐφώνησεν, τοὶ δ' ἐφθεγγοντο καλεῦντες,
o10.251@ "ἴομεν, ὡς ἐκέλευσας, ἀνὰ ⸢πληθύν κε συῶν γε.⸣"
i19.242 αὐτίκ' ἔπειθ' ἅμα μῦθος ἔην, τετέλεστο δὲ ἔργον
i9.467† ⸢ῥηϊδίως⸣. πολλοὶ δὲ σύες θαλέθοντες ἀλοιφῇ,
o13.409 * ἔσθοντες βάλανον μενοεικέα καὶ μέλαν ὕδωρ
o13.410 * πίνοντες, τά θ' ὕεσσι τρέφει τεθαλυῖαν ἀλοιφήν,
o12.419 κύμασιν ἐμφορέοντο, θεὸς δ' ἀποαίνυτο νόστον.
i21.9 ἐν δ' ἔπεσον μεγάλῳ πατάγῳ, βράχε δ' αἰπὰ ῥέεθρα,
i21.10 ὄχθαι δ' ἀμφὶ περὶ μεγάλ' ἴαχον· οἳ δ' ἀλαλητῷ
i21.11 ἔννεον ἔνθα καὶ ἔνθα, ἑλισσόμενοι περὶ δίνας.
o10.121† ⸢καί⸣ ῥ' ἀπὸ πετράων ἀνδραχθέσι χερμαδίοισι
o10.122† βάλλον· ἄφαρ δὲ κακὸς κόναβος ⸢συβότεσσιν⸣ ὀρώρει
cf. o10.123 χοίρων τ' ὀλλυμένων ἀγελῶν τε σκιδνομενάων.
o6.138 τρέσσαν δ' ἄλλυδις ἄλλη ἐπ' ἠϊόνας προὐχούσας.
o10.125 * @† ⸢ὣς⸣ οἱ τὰς ⸢ὤλεσκον⸣ λιμένος πολυβενθέος ⸢εἴσω⸣.
o5.397 * ἀσπάσιον δ' ἄρα τόν γε θεὸς κακότητος ἔλυσεν.
*o5.458@* ἀλλ' ὅτε δή ῥ' ⸢ἄμπνυτο⸣ καὶ ἐς φρένα θυμὸς ἀγέρθη,
o15.259 καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα,
o15.342† "⸢χαῖρέ μοι⸣, ὅττι μ' ἔπαυσας ἄλης καὶ ὀϊζύος αἰνῆς.
o15.343 πλαγκτοσύνης δ' οὐκ ἔστι κακώτερον ἄλλο βροτοῖσιν.
o15.344 ἀλλ' ἕνεκ' οὐλομένης γαστρὸς κακὰ κήδε' ἔχουσιν
o15.345 * ἀνέρες, οὓς ἵκηται ἄλη καὶ πῆμα καὶ ἄλγος."
i7.310 καί ῥ' ἦγον προτὶ ἄστυ, ἀέλποντες σόον εἶναι.

**959** ἤομεν … δρυμά, φαίδιμ' Ὀδυσσεῦ **961** ἔσφαζον **968** οἵ
**969** κατὰ νῆας **972** ὄφρ' … ὄλεσκον … ἐντὸς **974** ἔμπνυτο
**976** ὡς ἐμοί **980** ἀελπτέοντες Hom

θάμβησαν ⌜δ’ ἄρα πάντες⌝, ἐς ἀλλήλους δὲ ἴδοντο. i24.484†
οἱ δ’ ἄνεῳ ἐγένοντο δόμον κάτα φῶτα ἰδόντες. o7.144
ὧδε δέ τις εἴπεσκεν ἰδὼν ἐς πλησίον ἄλλον, o10.37
“ὢ πόποι, ὡς ὅδε πᾶσι φίλος καὶ τίμιός ἐστιν, o10.38
ὃς τοῦτον τὸν ἄναλτον ἀλητεύειν ἀπέπαυσεν. o18.114 *
ὃς τὸν λωβητῆρα ἐπεσβόλον ἔσχ’ ἀγοράων i2.275
τοῦτον μαινόμενον, τυκτὸν κακόν, ἀλλοπρόσαλλον. i5.831
καί τε χαλιφρονέοντα σαοφροσύνης ἐπέβησεν. o23.13 *
ὢ πόποι, ὡς τόνδ’ ἄνδρα θεὸς κακότητος ἔλυσεν. o16.364 *
οὕτως οὐ πάντεσσι θεὸς χαρίεντα δίδωσιν o8.167 *
ἀνδράσιν, οὔτε φυὴν οὔτ’ ἂρ φρένας οὔτ ἀγορητύν.” o8.168
ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον. *i5,431*

*περὶ τῆς αἱμορροούσης*

ἔσκε δὲ πατρὸς ἑοῖο γυνὴ Φοίνισσ’ ἐνὶ οἴκῳ, o15.417 *
καλή τε μεγάλη τε καὶ ἀγλαὰ ἔργ’ εἰδυῖα o15.418
κέρδεά θ’, οἷ’ οὔ πώ τιν’ ἀκούομεν οὐδὲ παλαιῶν. o2.118
λίην γὰρ πινυτή τε καὶ εὖ φρεσὶ μήδεα οἶδε o11.445
ἥτις τοι νύκτας τε καὶ ἤματα συνεχὲς αἰεὶ cf. o9.74
θυμὸν ἀποπνείουσ’, ὥς τε σκώληξ ἐπὶ γαίῃ i13.654 *
κεῖτο ταθεῖσ’· ἐκ δ’ αἷμα μέλαν ῥέε, δεῦε δὲ γαῖαν. i13.655 *
ἠρώτα δήπειτα τίς εἴη καὶ πόθεν ἔλθοι· o15.423
ἀλλ’ ὅτε δὴ γίνωσκε θεοῦ γόνον ⌜ἐγγὺς⌝ ἐόντα i6.191†
καρπαλίμως· ὁ δὲ ἔπειτα μετ’ ἴχνια βαῖνε θεοῖο. *o2.406*
δάκρυα δ’ ἔκβαλε θερμά, ἔπος δ’ ὀλοφυδνὸν ἔειπε o19.362
“κέκλυθι νῦν καὶ ἐμεῖο· μάλιστα γὰρ ἄλγος ἱκάνει. i3.97 *
οὐ γάρ πω μύσαν ὄσσε ⌜ἐπὶ⌝ βλεφάροισιν ἐμοῖσιν, *i24.637@*
ἀλλ’ αἰεὶ στενάχω καὶ κήδεα μυρία πέσσω· i24.639
κρῆνον νῦν καὶ ἐμοὶ δειλῇ ἔπος, ὅττι κεν εἴπω. o20.115
ἕλκος μὲν γὰρ ἔχω τόδε καρτερόν, οὐδέ μοι αἷμα i16.517 + 518

**981** δὲ καὶ ἄλλοι **1001** ἠὒν **1002** καρπαλίμως δήπετα IV **1005** ὑπὸ

i21.261† τέρσεται, ⸢ἀλλὰ μάλ᾽⸣ ὦκα κατειβόμενον κελαρύζει.
o19.407†@ πολλοῖσιν ⸢δ᾽ ἄρ᾽⸣ ἐγὼ ⸢δὴ⸣ ὀδυσσαμένη τόδ᾽ ἱκάνω
o19.408@ ἀνδράσιν ἠδὲ γυναιξὶν ἀνὰ χθόνα ⸢βωτιάνειραν⸣.
i6.345 ὥς μ᾽ ὄφελ᾽ ἤματι τῷ ὅτε με πρῶτον τέκε μήτηρ,
i6.347 εἰς ὄρος ἢ εἰς κῦμα πολυφλοίσβοιο θαλάσσης
i6.346 οἴχεσθαι προφέρουσα κακὴ ἀνέμοιο θύελλα.
i6.348 ἔνθα με κῦμ᾽ ἀπόερσε πάρος τάδε ἔργα γενέσθαι.
i4.190† ἕλκος δ᾽ ἰητὴρ ἐπιμάσσεται, ⸢ἠδὲ τίθησι⸣
i4.191 φάρμαχ᾽ ἅ κεν παύσῃσι μελαινάων ὀδυνάων.
o4.101 * πολλάκις ἐν μεγάροισι καθημένη ἡμετέροισιν,
o4.102 ἄλλοτε μέν τε γόῳ φρένα τέρπομαι, ἄλλοτε δ᾽ αὖτε
o4.103 παύομαι· αἰψηρὸς δὲ κόρος κρυεροῖο γόοιο.
i16.523 ἀλλὰ σύ πέρ μοι, ἄναξ, τόδε καρτερὸν ἕλκος ἄκεσσαι.
o16.67 * ἔρξον ὅπως ἐθέλεις· ἱκέτης δέ τοι εὔχομαι εἶναι.
o6.168† ὥς σε, ⸢ἄναξ⸣, ἄγαμαί τε τέθηπά τε δείδιά τ᾽ αἰνῶς
o6.169 γούνων ἅψασθαι· χαλεπὸν δέ με πένθος ἱκάνει."
o6.329 αὐτῷ δ᾽ οὔ πω φαίνετ᾽ ἐναντίη· αἴδετο γάρ ῥα·
i3.385 χειρὶ δὲ νεκταρέου ἑανοῦ ἐτίναξε λαβοῦσα.
i16.528 αὐτίκα παῦσ᾽ ὀδύνας, ἀπὸ δ᾽ ἕλκεος ἀργαλέοιο
i16.529 αἷμα μέλαν τέρσηνε, μένος δέ οἱ ἔμβαλε θυμῷ.
i1.333 αὐτὰρ ὁ ἔγνω ᾗσιν ἐνὶ φρεσὶ φώνησέν τε,
i6.441 "ἦ καὶ ἐμοὶ τάδε πάντα μέλει, γύναι· ἀλλὰ μάλ᾽ αἰνῶς
i10.383 θάρσει, μηδέ τί τοι θάνατος καταθύμιος ἔστω.
o4.148 οὕτω νῦν καὶ ἐγὼ νοέω, γύναι, ὡς σὺ ἐΐσκεις.
o22.411 ἐν θυμῷ, γρηῦ, χαῖρε καὶ ἴσχεο μηδ᾽ ὀλόλυζε."
o21.350 ἀλλ᾽ εἰς οἶκον ἰοῦσα τὰ σ᾽ αὐτῆς ἔργα κόμιζε,
i6.491 ἱστόν τ᾽ ἠλακάτην τε, καὶ ἀμφιπόλοισι κέλευε
o24.486 ὡς τὸ πάρος, πλοῦτος δὲ καὶ εἰρήνη ἅλις ἔστω.
i16.530 ⸢ἡ δ᾽ ἄρα⸣ ἔγνω ᾗσιν ἐνὶ φρεσὶ γήθησέν τε,
i16.531 * ὅττι οἱ ὦκ᾽ ἤκουσε μέγας θεὸς ⸢εὐξαμένης κεν⸣.

**1009** τὸ δέ τ᾽ **1010** γὰρ ... γε **1011** πουλυβότειραν 1016 ἠδ᾽ ἐπιθήσει **1023** γύναι **1037** Γλαῦκος δ᾽ **1038** εὐξαμένοιο

ἥ δ' ὅτε δὴ οὗ πατρὸς ἀγακλυτὰ δώμαθ' ἵκανε, o 7.3
κέκλετό γ' ἀμφιπόλοισιν ἐϋπλοκάμοις κατὰ δῶμα· i 22.442
ἡ δ' εἰς ὑψόροφον θάλαμον κίε δῖα γυναικῶν, i 3.423
⌜καὶ δή⌝ γ' ἱστὸν ὕφαινε μυχῷ δόμου ὑψηλοῖο, i 22.440 †
δίπλακα πορφυρέην, ἐν δὲ θρόνα ποικίλ' ἔπασσε. i 22.441
ἣ δ' αὖτις δμῳῇσιν ἐϋπλοκάμοισι μετηύδα, i 22.449
"δεῦτε, δύω μοι ἕπεσθον, ἴδωμ' ὅτιν' ἔργα τέτυκται." i 22.450

*περὶ τῆς Σαμαρίτιδος*

ἦμος δ' ἠέλιος μέσον οὐρανὸν ἀμφιβεβήκει, i 8.68
⌜καὶ τότε⌝ δὴ στείχοντες ὁδὸν κάτα παιπαλόεσσαν, o 17.204 †
ἄστεος ἔγγυς ἔσαν καὶ ἐπὶ κρήνην ἀφίκοντο o 17.205
τυκτὴν καλλίροον, ὅθεν ὑδρεύοντο πολῖται. o 17.206
ἀμφὶ δ' ἄρ' αἰγείρων ὑδατοτρεφέων ἦν ἄλσος, o 17.208
πάντοσε κυκλοτερές, κατὰ δὲ ψυχρὸν ῥέεν ὕδωρ· o 17.209
κούρῃ δὲ ξύμβλητο πρὸ ἄστεος ὑδρευούσῃ, o 10.105 *
ἡ μὲν ἄρ' ἐς κρήνην κατεβήσατο καλλιρέεθρον o 10.107
Ἀρτακίην· ἔνθεν γὰρ ὕδωρ προτὶ ἄστυ φέρεσκεν. o 10.108 *
ἔνθα καθέζετ' ἰών, τῇ δ' ἐξερέεινεν ἕκαστα. o 17.70 *
μειλιχίοις δ' ἐπέεσσι καθαπτόμενος προσέειπεν· o 24.393
"τίφθ' οὕτω ⌜ἀνδρὸς⌝ νοσφίζεαι, οὐδὲ παρ' αὐτὸν o 23.98 †
ἑζομένη μύθοισιν ἀνείρεαι ⌜ἠδὲ⌝ μεταλλᾷς; o 23.99 @
καὶ δ' ⌜ἄλλην⌝ νεμεσῶ, ἥ τις τοιαῦτά γε ῥέζοι· o 6.286 @
ἥ τ' ἀέκητι φίλων πατρὸς καὶ μητρὸς ἐόντων, o 6.287
ἀνδράσι μίσγηται πρίν γ' ἀμφάδιον γάμον ἐλθεῖν. o 6.288
οὐ μέν κ' ἄλλη γ' ὧδε γυνὴ τετληότι θυμῷ o 23.100
ἀνδρὸς ἀποσταίη, ὅς τοι κακὰ πόλλ' ἐμόγησε. o 23.101 *
σοὶ δ' αἰεὶ κραδίη στερεωτέρη ἐστὶ λίθοιο." o 23.103
ἡ δ' οὔτ' ἠρνεῖτο στυγερὸν γάμον οὔτε τελεύτα. o 24.126

**1042** ἀλλ' ἤ **1047** ἀλλ' ὅτε **1057** πατρὸς **1058** οὐδὲ **1059** ἄλλῃ

o6.66 ὣς ἔφατ᾽· αἴδετο γὰρ θαλερὸν γάμον ἐξονομῆναι
o6.67† ⌜ἀνδρὶ⌝ φίλῳ· ὁ δὲ πάντα νόει καὶ ἀμείβετο μύθῳ·
o6.178† "ἄστυ τέ μοι δεῖξον, δός ⌜μοί θ᾽ ὕδωρ κορέσασθαι.⌝"
o23.93 ἡ δ᾽ ἄνεω δὴν ἧστο, τάφος δέ οἱ ἦτορ ἵκανεν·
o23.94 ὄψει δ᾽ ἄλλοτε μέν μιν ἐνωπαδίως ἐσίδεσκεν.
o15.434* τὸν δ᾽ αὖτε προσέειπε γυνὴ καὶ ἀμείψατο μύθῳ
i17.437* + o6.329† οὔδει ἐνισκίμψασα καρήατι· αἴδετο γάρ ⌜μιν⌝
o23.105† "⌜ξεῖνε, ἐπεὶ⌝ θυμός μοι ἐνὶ στήθεσσι τέθηπεν,
o23.106 οὔτέ τι προσφάσθαι δύναμαι ἔπος οὐδ᾽ ἐρέεσθαι
o23.107† οὐδ᾽ εἰς ὦπα ἰδέσθαι ἐναντίον· ⌜αἰδέομαι γάρ⌝.
o17.273 ῥεῖ᾽ ἔγνως, ἐπεὶ οὐδὲ τά τ᾽ ἄλλα πέρ ἐσσ᾽ ἀνόημων.
o17.138 ταῦτα δ᾽ ἅ μ᾽ εἰρωτᾷς καὶ λίσσεαι, οὐκ ἂν ἔγωγε
o17.139†* ἄλλα παρὲξ εἴποιμι ⌜παραβλήδην⌝ ἀπατήσων.
o17.141 τῶν οὐδέν τοι ἐγὼ κρύψω ἔπος οὐδ᾽ ἐπικεύσω.
*o11.507* πᾶσαν ἀληθείην μυθήσομαι, ὥς με κελεύεις.
o6.194 ἄστυ δέ τοι δείξω, ἐρέω δέ τοι οὔνομα λαῶν.
o 3.361† εἶμ᾽, ἵνα θαρσύνω ⌜θ᾽⌝ ἑτάρους εἴπω τε ἕκαστα.
i9.603† ἔρχεο· ἶσον γάρ σε θεῷ τείσουσιν ⌜ἅπαντες⌝,
o8.236 ξεῖν᾽, ἐπεὶ οὐκ ἀχάριστα μεθ᾽ ἡμῖν ταῦτ᾽ ἀγορεύεις,
o8.237 ἀλλ᾽ ἐθέλεις ἀρετὴν σὴν φαινέμεν, ἥ τοι ὀπηδεῖ.
o6.191† ⌜ξεῖν⌝, ἐπεὶ ἡμετέρην τε πόλιν καὶ γαῖαν ἱκάνεις,
o6.192† οὔτ᾽ οὖν ἐσθῆτος δευήσεαι οὔτε ⌜ποτῆτος⌝.
*i9.154* ἐν δ᾽ ἄνδρες ναίουσι πολύρρηνες πολυβοῦται,
*i9.155* οἵ κέ σε δωτίνῃσι θεὸν ὣς τιμήσουσι.
o6.158 κεῖνος δ᾽ αὖ περὶ κῆρι μακάρτατος ἔξοχον ἄλλων,
o6.159@ ὅς κέ ⌜σε ἔδνοισι⌝ βρίσας οἶκόνδ᾽ ἀγάγηται.
o7.299† ξεῖν᾽, ἦ τοι μὲν τοῦτό γ᾽ ἐναίσιμον οὐκ ἐνόησα,

**1067** πατρὶ **1068** δὲ ῥάκος ἀμφιβαλέσθαι **1072** ῥα **1073** τέκνον ἐμὸν **1075** εἰ δ᾽ ἐτεὸν δὴ **1078** παρακλιδὸν οὐδ᾽ **1082** θ᾽ deest in Iv **1083** Ἀχαιοί **1086** νῦν δὲ **1087** ἐσθῆτος Hom : βρώσιος Iv … τευ ἄλλου **1091** σ᾽ ἐέδνοισι **1092** ἔναισιμον Steph, Hom : αἰνέσιμον Iv

ἀλλ' ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον, *i 10.384*
ξεῖν', ἐπεὶ οὔτε κακῷ οὔτ' ἄφρονι φωτὶ ἔοικας. o 6.187
καί μοι τοῦτ' ἀγόρευσον ἐτήτυμον, ὄφρ' ἐῢ εἰδῶ· o 1.174
τίς πόθεν εἰς ἀνδρῶν; πόθι τοι πόλις ἠδὲ τοκῆες; o 1.170
τρισμάκαρες μὲν σοί γε πατὴρ καὶ πότνια μήτηρ. o 6.154
εἴπ' ὄνομ' ὅττι σε κεῖθι κάλεον πατήρ τε μήτηρ τε, o 8.550
ἄλλοι θ' οἳ κατὰ ἄστυ καὶ οἳ περιναιετάουσιν. o 8.551
οὐ γὰρ ἀπὸ δρυός ἐσσι παλαιφάτου οὐδ' ἀπὸ πέτρης. o 19.163
οὐ μὲν γάρ τις πάμπαν ἀνώνυμός ἐστ' ἀνθρώπων, o 8.552
οὐ κακὸς οὐδέ μὲν ἐσθλός, ἐπὴν τὰ πρῶτα γένηται, o 8.553
ἀλλ' ἐπὶ πᾶσι τίθενται, ἐπεί κε τέκωσι, τοκῆες. o 8.554
εἰπὲ δέ μοι γαῖάν τε τεὴν δῆμόν τε πόλιν τε. o 8.555
εἰπέ μοι, αἴ κέ ποθι γνώω τοιοῦτον ἐόντα. o 14.118
οὐ γάρ πω ⌜τοιοῦτον ἴδον βροτὸν⌝ ὀφθαλμοῖσιν, o 6.160 @
οὔτ' ἄνδρ' οὔτε γυναῖκα· σέβας μ' ἔχει εἰσορόωσαν. o 6.161 *
χαῖρε, ξεῖν', ἵνα καί ποτ' ἐὼν ἐν πατρίδι γαίῃ, o 8.461
μνήσῃ ἐμεῖ', ὅτι μοι πρώτῃ ζωάγρι' ὀφέλλεις. o 8.462
τῷ κέν τοι καὶ κεῖθι θεῷ ὣς εὐχετοῴμην o 8.467
αἰεὶ ἤματα πάντα· σύ γάρ μ' ἐβιώσαο κούρην. o 8.468 *
⌜ὦ ξεῖν⌝, ἔξοχα δή σε βροτῶν αἰνίζομ' ἁπάντων. o 8.487 †
αἰδῶ καὶ φιλότητα τεὴν μετόπισθε φυλάσσων. i 24.111
ὦ ⌜ξεῖν'⌝, ἦ ῥ' ἀγαθὸν καὶ ἐναίσιμα δῶρα διδοῦναι. i 24.425 †
εἶμ', ἵνα θαρσύνω ⌜θ'⌝ ἑτάρους εἴπω τε ἕκαστα." o 3.361 †
ὣς ἄρα φωνήσασ' ἀπεβήσατο, τὸν δ' ἔλιπ' αὐτοῦ. i 1.428
ἣ δ' ⌜ἔθει⌝ οὐ μάλα πολλὸν ἐπὶ χρόνον· αἶψα γὰρ ἦλθε. o 12.407 †
αὐτὰρ ἐπὴν πόλιος ἐπεβήσατο ἣν πέρι πύργος o 6.262 *
ὑψηλός, καλὸς δὲ λιμὴν ἑκάτερθε πόληος. o 6.263
θάμβησεν κατὰ θυμόν· ὀΐσατο γὰρ θεὸν εἶναι. o 1.323
⌜αὐτίκα καὶ⌝ πᾶσιν μυθήσατο ἀνθρώποισιν· o 8.497 † *
"δεῦτ' ἄγε, ⌜Σικήμων⌝ ἡγήτορες ἠδὲ μέδοντες o 8.11 †

**1106** τοιοῦτον ἐγὼ ἴδον **1112** Δημόδοκ' **1114** τέκος … ἔναισιμα Steph, Hom : αἰνέσιμα Iv **1117** verbum om. Iv **1121** αὐτίκ' ἐγὼ **1122** Φαιήκων

o8.12 εἰς ἀγορὴν ἰέναι, ὄφρα ξείνοιο πύθησθε,
? ὅς πέρ μοι βίον εἶπε καὶ ἔργματα καὶ γόον αὐτόν,
o8.491 ὥς τέ που ἢ αὐτὸς παρεὼν ἢ ἄλλου ἀκούσας,
o9.14† τί πρῶτόν ˹τί δ'˺ ἔπειτα τί δ' ὑστάτιον καταλέξω;
o4.231 * ἰητρὸς δὲ ἑκάστῳ ἐπιστάμενος περὶ πάντων
o4.232 * ἀνθρώπων· ἦ γὰρ Παιήονός ἐστι γενέθλης.
o8.388 ὁ ξεῖνος μάλα μοι δοκέει πεπνυμένος εἶναι.
o12.35 * αὐτὰρ ἐγὼ τῷ πάντα κατὰ μοῖραν κατέλεξα.
o8.490 *† ὅσσ' ἔρξα τ' ἔπαθόν τε καὶ ὅσσ' ἐμόγησα ˹βίῳ κεν˺,
o4.392 * ὅττι μοι ἐν μεγάροισι κακόν τ' ἀγαθόν τε τέτυκται.
o17.373 αὐτὸν δ' οὐ σάφα οἶδα, πόθεν γένος εὔχεται εἶναι.
o3.69† νῦν ˹δέ γε˺ κάλλιόν ἐστι μεταλλῆσαι καὶ ἔρεσθαι
o1.406 ὁππόθεν οὗτος ἀνὴρ, ποίης δ' ἐξ εὔχεται εἶναι
o1.407 γαίης, ποῦ δέ νύ οἱ γενεὴ καὶ πατρὶς ἄρουρα.
o6.201 οὐκ ἔσθ' οὗτος ἀνὴρ διερὸς βροτὸς οὐδὲ γένηται.
o16.196 οὐ γάρ πως ἂν θνητὸς ἀνὴρ τάδε μηχανόῳτο
o16.197† ᾧ αὐτοῦ ˹γε νόῳ˺, ὅτε μὴ θεός αὐτὸς ἐπελθὼν
o16.198 ῥηϊδίως ἐθέλων θείη νέον ἠδὲ γέροντα.
o3.246 ὥς τέ μοι ἀθάνατός γ' ἰνδάλλεται εἰσοράασθαι
o4.247 ἄλλῳ δ' αὐτὸν φωτὶ κατακρύπτων ἤϊσκε.
i23.469 ἀλλὰ ἴδεσθε καὶ ὔμμες ἀνασταδόν· οὐ γὰρ ἔγωγε
i23.470 εὖ διαγιγνώσκω· δοκέει δέ μοι ἔμμεναι ἀνήρ."
o8.15 ὣς εἰποῦσ' ὄτρυνε μένος καὶ θυμὸν ἑκάστου.
o8.16 καρπαλίμως δ' ἔπληντο βροτῶν ἀγοραί τε καὶ ἕδραι
o8.17 ἀγρομένων· πολλοὶ δ' ἄρα θηήσαντο ἰδόντες·
o3.35 χερσίν τ' ἠσπάζοντο καὶ ἑδριάασθαι ἄνωγον
i23.202 βηλῷ ἔπι λιθέῳ· τοὶ δ' ὡς ἴδον ὀφθαλμοῖσι,
i23.203 πάντες ἀνήϊξαν, κάλεόν τέ μιν εἰς ἓ ἕκαστος,
i16.192 *† ἀμφαγαπαζόμενοι ὡς εἰ ˹θεοῦ˺ υἱὸν ἐόντα.
o8.57 πλῆντο δ' ἄρ' αἴθουσαί τε καὶ ἕρκεα καὶ δόμοι ἀνδρῶν.

**1126** τοι **1131** βίῳ κεν conieci pro βίωσκεν Iv : Ἀχαιοί **1134** δή **1139** verba om. Iv **1145** ὄτρυνε **1151** θ' ἐὸν

*περὶ τῶν ἑπτὰ ἄρτων*

ἀλλ᾽ ὅτε δή ῥ᾽ ἐκίχανε πολὺν καθ᾽ ὅμιλον ὀπάζων, i5.334
βῆ ῥ᾽ ἀν᾽ ὁδὸν μεμαώς· τὸν δ᾽ ἐφράσατο προσιόντα i10.339
πληθύς, ὡς ὁπότε ⸢Ζέφυρος νέφεα⸣ στυφελίξῃ, i11.305 * @
ὅσσαι ἀριστήων ἄλοχοι ἔσαν ἠδὲ θύγατρες, o11.227
νύμφαι τ᾽ ἠΐθεοί τε πολύτλητοί τε γέροντες· o11.38
χωλοί τε ῥυσσοί τε παραβλῶπές τ᾽ ⸢ὀφθαλμῶν⸣. i9.503 @
ἀλλ᾽ οὔ πω τοιόνδε τοσόνδε τε λαὸν ὄπωπα· i2.799
λίην γὰρ φύλλοισιν ἐοικότες ἢ ψαμάθοισιν i2.800
ἠϊόνος προπάροιθε βαθείης ἔστι χόωντο i2.92
ἠχῇ, ὡς ὅτε κῦμα πολυφλοίσβοιο θαλάσσης i2.209
αἰγιαλῷ μεγάλῳ βρέμεται, σμαραγεῖ δέ τε πόντος. i2.210
⸢οὔτ᾽ ἄρ⸣ πάντων ἦεν ὁμὸς θρόος οὐδ᾽ ἴα γῆρυς, i4.437 †
ἀλλὰ γλῶσσ᾽ ἐμέμικτο, πολύκλητοι δ᾽ ἔσαν ἄνδρες. i4.438
τῶν δ᾽ ἄλλων τίς κεν ⸢ᾗσι⸣ φρεσὶν οὐνόματ᾽ εἴπῃ; i17.260 * †
ὣς ἄρα τῶν ὑπὸ ποσσὶ μέγα στοναχίζετο γαῖα i2.784
ἐρχομένων· μάλα δ᾽ ὦκα διέπρησσον πεδίοιο, i2.785
ἠΰτε ἔθνεα εἶσι μελισσάων ἁδινάων i2.87
πέτρης ἐκ γλαφυρῆς αἰεὶ νέον ἐρχομενάων· i2.88
βοτρυδόν ⸢τε⸣ πέτονται ἐπ᾽ ἄνθεσιν εἰαρινοῖσιν, i2.89 †
αἱ μέν τ᾽ ἔνθα ἅλις πεποτήαται, αἱ δέ τε ἔνθα. i2.90
ὣς τῶν ἔθνεα πολλὰ νεῶν ἄπο καὶ κλισιάων i2.91
ἠϊόνος προπάροιθε βαθείης ἔστι χόωντο. i2.92
δὴ τότ᾽ ἔπειθ᾽ ἑτάροισιν ἐποτρύνας ἐκελεύσεν· o11.44 *
  "ὑμῶν ἀνδρὶ ἑκάστῳ ἐφιέμενος τάδε εἴρω, o13.7
ὣς ἄν ⸢μοι⸣ τιμὴν μεγάλην καὶ κῦδος ἄρησθε, i16.84 † *
τιμήν, ἥ τ᾽ ἄλλων περ ἐπιγνάμπτει νόον ἐσθλῶν· i9.514
πολλοὶ δὴ ξεῖνοι ταλαπείριοι ἐνθάδ᾽ ἵκοντο, o19.379
καὶ μάλα τειρόμενοί περ· ἀναγκαίη γὰρ ἐπείγει· i6.85

**1155** νέφεα Ζέφυρος **1158** ὀφθαλμώ **1164** οὐ γὰρ
**1165** ᾗσι Steph, Hom : ἐνὶ Iv **1171** δὲ **1177** μοι deest in Iv

o6.207 * † τοὺς νῦν χρὴ κομέειν. πρὸς γὰρ ⸢θεοῦ⸣ εἰσὶν ἅπαντες
o6.208 ξεῖνοί τε πτωχοί τε· δόσις δ’ ὀλίγη τε φίλη τε.
i17.446 οὐ μὲν γάρ τι που ἐστὶν ὀϊζυρώτερον ἀνδρὸς
o18.131 πάντων ὅσσα τε γαῖαν ἔπι πνείει τε καὶ ἕρπει.
o18.132 οὐ μὲν γάρ ποτέ φησι κακὸν πείσεσθαι ὀπίσσω,
o18.133 * ὄφρ’ ἀρετὴν παρέχῃσι θεὸς καὶ γούνατ’ ὀρώρῃ·
o18.134 * ἀλλ’ ὅτε δὴ καὶ λυγρὰ θεὸς μάκαρ ἐκτελέῃσι,
o18.135 καὶ τὰ φέρει ἀεκαζόμενος τετληότι θυμῷ.
o18.136 τοῖος γὰρ νόος ἐστὶν ἐπιχθονίων ἀνθρώπων
o18.137 + cf. i1.288 οἷον ἐπ’ ἦμαρ ἄγῃσι θεὸς πάντεσσιν ἀνάσσων.
o12.341 πάντες μὲν στυγεροὶ θάνατοι δειλοῖσι βροτοῖσι,
o12.342 λιμῷ δ’ οἴκτιστον θανέειν καὶ πότμον ἐπισπεῖν.
o18.130 οὐδὲν ἀκιδνότερον γαῖα τρέφει ἀνθρώποιο.
o19.360 αἶψα γὰρ ἐν κακότητι βροτοὶ καταγηράσκουσιν.
i6.146 οἵη περ φύλλων γενεή, τοιήδε καὶ ἀνδρῶν.
o15.74 χρὴ ξεῖνον παρέοντα φιλεῖν, ἐθέλοντα δὲ πέμπειν.
o15.54 τοῦ γάρ τε ξεῖνος μιμνήσκεται ἤματα πάντα
o15.55 ἀνδρὸς ξεινοδόκου, ὅς κεν φιλότητα παράσχῃ.
o15.72 ἶσόν τοι κακόν ἐσθ’, ὅς τ’ οὐκ ἐθέλοντα νέεσθαι
o15.73 ξεῖνον ἐποτρύνῃ καὶ ὃς ἐσσύμενον κατερύκῃ.
i2.139 ἀλλ’ ἄγεθ’, ὡς ἂν ἐγὼ εἴπω, πειθώμεθα πάντες·
o3.66 μοίρας δασσάμενοι δαίνυσθ’ ἐρικυδέα δαῖτα.
cf. o3.44 δήμῳ καί κε τότ’ ἀντήσαιατο δεῦρο μολόντες·
o18.255 μεῖζόν κε κλέος εἴη ἐμὸν καὶ κάλλιον οὕτω.”
*i23.54* ὣς ἔφαθ’, οἱ δ’ ἄρα τοῦ μὲν κλύον ἠδ’ ἐπίθοντο.
o8.16 καρπαλίμως δ’ ἔπληντο βροτῶν ἀγοραί τε καὶ ἕδραι.
i2.144@ κινήτη δ’ ἀγορὴ ⸢ὡς⸣ κύματα μακρὰ θαλάσσης.
i2.99 σπουδῇ δ’ ἕζετο λαός, ἐρήτυθεν δὲ καθ’ ἕδρας.
o3.7 ἐννέα δ’ ἕδραι ἔσαν, πεντηκόσιοι δ’ ἐν ἑκάστῃ.
o11.44 δὴ τότ’ ἔπειθ’ ἑτάροισιν ἐποτρύνας ἐκέλευσεν·
o17.343 ἄρτον τ’ οὖλον ἑλὼν περικαλλέος ἐκ κανέοιο,

**1181** Διός **1203** ἀντήσαιατο conieci pro ἀντήσετον Iv
**1207** φὴ

εὔχετο· τοὶ δ' ἅμα πάντες ὑπ' αὐτόφιν εἵατο σιγῇ. i 19.255
αὐτὰρ ἔπειτ' ἄλλοισι δίδου χαρίεσσαν ἀμοιβήν. o 3.58
λαοὶ δ' ἠρήσαντο ⌜θεῷ ἰδὲ⌝ χεῖρας ἀνέσχον. i 7.177 *
αὐτὰρ ἐπεὶ τάρπησαν ὁρώμενοι ὀφθαλμοῖσι, o 10.181
χεῖρας νιψάμενοι τεύχοντ' ἐρικυδέα δαῖτα. o 10.182
οἱ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον, *o 14.453*
ἐσσυμένως δ' ἄρα δόρπον ἐφοπλίσσαντες ἕκαστοι i 23.55
δαίνυντ', οὐδέ τι θυμὸς ἐδεύετο δαιτὸς ἐΐσης. i 23.56
αὐτὰρ ἐπεὶ τάρπησαν ἐδητύος ἠδὲ ποτῆτος o 5.201
ἁρπαλέως· δηρὸν γὰρ ἐδητύος ἦσαν ἄπαστοι. o 6.250 *
οἱ μὲν κακκείοντες ἔβαν κλισίηνδε ἕκαστος, i 23.58
ἐν καθαρῷ, ὅθι κύματ' ἐπ' ἠϊόνος κλύζεσκεν· i 23.61 *
οἱ δὲ πανημέριοι μολπῇ θεὸν ἱλάσκοντο. i 1.472
ἦμος δ' ἠέλιος κατέδυ καὶ ἐπὶ κνέφας ἦλθε, i 1.475
⌜δὴ τότε⌝ κοιμήσαντο τεταρπόμενοι φίλον ἦτορ i 9.705 † *
σίτου καὶ οἴνοιο· τὸ γὰρ μένος ἐστὶ καὶ ἀλκή. i 9.706

*περὶ τοῦ Λαζάρου*

ὣς ὁ μὲν ἔνθα κατέσχετ', ἐπειγόμενός περ ὁδοῖο, *o 3.284*
εὖτε ⌜δὲ⌝ ἠέλιος φαέθων ὑπερέσχεθε γαίης, i 11.735 †
οἷον καὶ τόδ' ἔρεξε καὶ ἔτλη καρτερὸς ἀνήρ. o 4.271
ἄνδρα θνητὸν ἐόντα, πάλαι πεπρωμένον αἴσῃ *i 22.179*
εἰς Ἄϊδός περ ⌜ἐόντα⌝ πυλάρταο κρατεροῖο, i 13.415 @
αὖθις ἀνεστήσαο ὑπὸ ζόφου ἠερόεντος. i 21.56 *
⌜δὴ τότε γάρ τις ἔειπε γυναικῶν, ἣ σάφα ᾔδη, o 2.108 †
οἴκτρ' ὀλοφυρομένη, θαλερὸν κατὰ δάκρυ χέουσα· o 10.409 *
"πεύσεαι ἀγγελίης, ἣ μὴ ὤφελλε γενέσθαι, i 18.19
λυγρῆς ἀγγελίης, ὅτι σοι φίλος ὤλεθ' ἑταῖρος· i 17.642 *
λυγρῆς, ἥ τέ μοι αἰεὶ ἐνὶ στήθεσσι φίλον κῆρ o 1.341

**1214** θεοῖσι δὲ **1226** νῦν μὲν **1229** γὰρ **1231** ἰόντα **1234** καὶ τότε δή

o 1.342 τείρει, ἐπεί με μάλιστα καθίκετο πένθος ἄλαστον.
o 4.199 καὶ γὰρ ἐμὸς τέθνηκεν ἀδελφεός, οὔ τι κάκιστος.
o 5.262 τέτρατον ἦμαρ ἔην, καὶ τῷ τετέλεστο ἅπαντα,
i 16.457 * τύμβος τε στήλη τε· τὸ γὰρ γέρας ἐστὶ θανόντων.
i 16.450 ἀλλ' εἴ τοι φίλος ἐστί, τεὸν δ' ὀλοφύρεται ἦτορ,
i 6.363 ἀλλὰ σύ γ' ὄρνυθι τοῦτον, ἐπειγέσθω δὲ καὶ αὐτὸς
*i 17.478* ζωὸς ἐών· νῦν αὖ θάνατος καὶ μοῖρα κιχάνει.
o 5.450 † ⸢νῦν⸣ ἐλέαιρε, ἄναξ· ἱκέτις δέ τοι εὔχομαι εἶναι."
o 4.767 * ὣς εἰποῦσ' ὀλόλυξε, θεὸς δέ οἱ ἔκλυεν ἀρῆς.
i 19.125 ὣς φάτο, τὸν δ' ἄχος ὀξὺ κατὰ φρένα τύψε βαθεῖαν,
i 2.7 καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
o 23.183 "ὦ γύναι, ἦ μάλα τοῦτο ἔπος θυμαλγὲς ἔειπας·
i 24.300 * ὦ γύναι, οὐ μέν τοι τάδ' ἐφιεμένῃ ἀπιθήσω·
i 24.301 † ἐσθλὸν γὰρ ⸢θείῳ⸣ χεῖρας ἀνασχέμεν, αἴ κ' ἐλεήσῃ.
o 24.357 θάρσει, μή τοι ταῦτα μετὰ φρεσὶ σῇσι μελόντων.
i 6.361 ἤδη γάρ μοι θυμὸς ἐπέσσυται ὄφρ' ἐπαμύνω
i 5.808 * ῥηϊδίως· τοῖός τοι ἐγὼν ἐπιτάρροθος ἦα.
i 6.486 δαιμονίη, μή μοί τι λίην ἀκαχίζεο θυμῷ·
i 10.383 θάρσει, μηδέ τί τοι θάνατος καταθύμιος ἔστω.
*i 1.212* ὧδε γὰρ ἐξερέω, τὸ δὲ καὶ τετελεσμένον ἔσται·
i 22.389 εἰ δὲ θανόντων περ καταλήθοντ' εἰν Ἀΐδαο,
i 22.390 αὐτὰρ ἐγὼ καὶ κεῖθι φίλου μεμνήσομ' ἑταίρου.
i 22.180 * ἂψ ἐθέλω θανάτοιο δυσηχέος ἐξαναλῦσαι.
i 6.444 καὶ δέ με θυμὸς ἄνωγεν, ἐπεὶ μάθον ἔμμεναι ἐσθλός.
o 10.457 * μηκέτι νῦν θαλερὸν γόον ὄρνυθι· οἶδα καὶ αὐτός.
o 24.323 ἀλλ' ἴσχεο κλαυθμοῖο γόοιό τε δακρυόεντος.
o 4.753 † * ⸢ἦ⸣ γάρ κέν μιν ἔπειτα καὶ ἐκ θανάτοιο σαώσω."
o 4.758 † ὣς φάτο, τῆς δὲ ⸢ἐνῶρσε⸣ γόον, σχέθε δ' ὄσσε γόοιο.
i 12.251 ὣς ἄρα φωνήσας ἡγήσατο· τοὶ δ' ἅμ' ἕποντο
i 2.468 μυρίοι, ὅσσά τε φύλλα καὶ ἄνθεα γίνεται ὥρῃ.
o 2.150 ἀλλ' ὅτε δὴ μέσσην ἀγορὴν πολύφημον ἱκέσθην,

**1246** ἀλλ' **1252** Διί **1265** ἡ **1266** εὔνησε

ἶξεν γ' ἐς σπεῖος γλαφυρὸν θεὸς ἠδὲ καὶ ἀνήρ. o5.194
ἱστάμενοι δ' εἴροντο περὶ σπέος ὅττι ⌜κεν ἔρδοι⌝. o9.402†
ᾤμωξέν τ' ἄρ ἔπειτα, φίλον δ' ὀνόμηνεν ἑταῖρον· i23.178
στῆ δ' ἆρ ὑπὲρ κεφαλῆς καί μιν πρὸς μῦθον ἔειπεν· o23.4
"⌜ὄρνυθι⌝, μηδ' ἔτι κεῖσο." σέβας δ' ἔχεν εἰσορόωντας i18.178 + o3.123 * †
"σοὶ δ' αὐτῷ τόδ' ἐγὼν ἐπιτέλλομαι ἠδὲ κελεύω." i19.192
ὣς φάθ', ὁ δ' ἐξ ὕπνοιο μάλα κραιπνῶς ἀνόρουσεν. i10.162
⌜ὣς μὲν ἔπειτ⌝" ἀνένεικε καὶ ἤγαγεν ἐξ Ἀΐδαο o11.625† *
φθεγξάμενος· τὸν δ' αἶψα περὶ φρένας ἤλυθ' ἰωή. i10.139
ἂψ δὲ μελαγχροιὴς γένετο, γναθμοὶ δὲ τάνυσθεν. o16.175
κυάνεαι δ' ἐγένοντο ⌜ἐθειράδες⌝ ἀμφὶ γένειον. o16.176@
αὐτὰρ ἐπεί ῥ' ⌜ἄμπνυτο⌝ καὶ ἐς φρένα θυμὸς ἀγέρθη, o24.349@
ἔσσυτ' ἀνα πρόθυρον καὶ ὑπέρβη λάϊνον οὐδόν. o14.34† + *16.41*
ἔστη δ' ἐν μέσσοισι· τάφος δ' ἕλεν ἄνδρα ἕκαστον. o24.441 *
καρπαλίμως δ' ὅδ' ἔπειτα μετ' ἴχνια βαῖνε θεοῖο. o7.38
⌜πάντας⌝ δὲ τρόμος αἰνὸς ὑπήλυθε γυῖα ἑκάστου, i7.215† *
ὡς εἶδον ζωόν τε καὶ ἀρτεμέα προσιόντα. i5.515
ὧδε δέ τις εἴπεσκεν ἰδὼν ἐς πλησίον ἄλλον· i22.372
"ὢ πόποι, ἦ μέγα θαῦμα τόδ' ὀφθαλμοῖσιν ὁρῶμαι· i20.344
οὐ γάρ πω ἰδόμην, οὐδ' ἔκλυον αὐδήσαντος, i10.47
ἀθάνατον θεὸν ὧδε βροτοὺς ἀγαπαζέμεν ἄντην. i24.464
καὶ νῦν ἐξεσάωσεν ὀϊόμενον θανέεσθαι. i4.12
οὐ γάρ πως ἂν θνητὸς ἀνὴρ τάδε μηχανόῳτο. o16.196
οἷον ⌜ὅδ⌝" αὖτ' ἐξαῦτις ἀνέστη πότμον ἀλύξας, i15.287
ταρβήσας, ὅτ' ἄκουσε θεοῦ ὄπα φωνησάντος. i20.380
ὦ φίλοι, οὐ μέν πώ τι πάρος ⌜περ τοῖον⌝ ἐτύχθη, o18.36 *
οἵην τερπωλὴν θεὸς ἤγαγεν ἐς τόδε δῶμα." o18.37
καὶ τότε δὴ πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα, i1.601

**1271** ἑ κήδοι **1274** ἀλλ' ἄνα **1277** τὸν μὲν ἐγὼ **1280** γενεί-αδες **1281** ἔμπνυτο **1282** πρόθυρον Hom : θορῶν Iv **1284** ὁ δ' **1285** Τρῶας **1293** δ' **1295** περ deest in Iv : τοιοῦτον Hom **1297** ὣς ... μὲν

i2.789† πάντες ὁμηγερέες ⌜γ’⌝ ἠμὲν νέοι ἠδὲ γέροντες,
*i8.347* χεῖρας ἀνίσχοντες μεγάλ’ εὐχετόωντο ἕκαστος.

*περὶ τῆς τῶν μύρων ἀλειψάσης τὸν Κύριον*

o17.28 αὐτὰρ ἐπεί ῥ’ ἵκανε δόμους εὖ ναιετάοντας,
o7.135 καρπαλίμως ὑπὲρ οὐδὸν ἐβήσατο δώματος εἴσω
o8.6 ἐλθόντες δὲ κάθιζον ἐπὶ ξεστοῖσι λίθοισιν
i9.586† οἵ οἱ κεδνότατοι καὶ φίλτατοι ἦσαν ⌜ἑταίρων⌝.
o17.96† ⌜γυνὴ⌝ δ’ ἀντίον ⌜ἦλθε⌝ παρὰ σταθμὸν μεγάροιο,
o1.334 ἄντα παρειάων σχομένη λιπαρὰ κρήδεμνα.
i1.500 καί ῥα πάροιθ’ αὐτοῖο καθέζετο καὶ λάβε γούνων,
i9.570 πρόχνυ καθεζομένη· δεύοντο δὲ δάκρυσι κόλποι
i8.371 * † ⌜καί⌝ οἱ γούνατ’ ἔκυσσε καὶ ἔλλαβε χερσὶ ⌜ποδοῖϊν⌝.
i9.591 λίσσετ’ ὀδυρομένη, καί οἱ κατέλεξεν ἅπαντα.
o6.79† * ⌜χεῦσε⌝ δὲ ⌜χρυσέου ἐκ ληκύθου⌝ ὑγρὸν ἔλαιον
o8.68 αὐτοῦ ὑπὲρ κεφαλῆς καὶ ἐπέφραδε χερσὶν ἑλέσθαι.
o18.71 μνηστῆρες δ’ ἄρα πάντες ὑπερφιάλως ἀγάσαντο.
i1.333 αὐτὰρ ὁ ἔγνω ᾗσιν ἐνὶ φρεσὶ φώνησέν τε,
o19.348@ “⌜τῇδε δ’ ἂν οὐ⌝ φθονέοιμι ποδῶν ἅψασθαι ἐμοῖο.
o19.107 ὦ γύναι, οὐκ ἄν τις σὲ βροτῶν ἐπ’ ἀπείρονα γαῖαν
o19.108 νεικέοι· ἦ γάρ σευ κλέος οὐρανὸν εὐρὺν ἱκάνει,
o19.109 ὥς τέ τευ ἢ βασιλῆος ἀμύμονος, ὅς τε θεουδὴς
o19.110 * ἀνδράσιν ἐν πολλοῖσι καὶ ἰφθίμοισιν ἀνάσσοι,
o19.111 εὐδικίας ἀνέχῃσι, φέρῃσι δὲ γαῖα μέλαινα.
i23.647 τοῦτο δ’ ἐγὼ πρόφρων δέχομαι, χαίρει δέ μοι ἦτορ,
i23.648 ὥς μευ ἀεὶ μέμνησαι ἐνηέος, οὐδέ σε λήθω.
o2.372 θάρσει μοι, ἐπεὶ οὔ τι ἄνευ θεοῦ ἥδε γε βουλή.
i23.650 * σοὶ δὲ θεὸς τοῦδ’ ἀντὶ χάριν μενοεικέα δοίη.

**1298** om. Hom. **1303** ἁπάντων **1304** μήτηρ … ἷζε **1309** ἤ … γενείου **1310** δῶκε … χρυσέῳ ἐν ληκύθῳ sscr. Iv : χρυσέῃ ἐν ληκύθῳ Hom **1314** τῇ δ’ οὐκ ἂν

καί μιν ἔτισ' ὡς οὔ τις ἐπὶ χθονὶ τίεται ἄλλη. o7.67
ῥηΐδιον δὲ θεῷ, ὅς γ' οὐρανὸν εὐρὺν ἔχησιν, o16.211 *
ἠμὲν κυδῆναι θνητὸν βροτὸν ἠδὲ κακῶσαι.” o16.212

*περὶ τῆς προδοσίας*

ἦν δέ τις ἐν μνηστῆρσιν ἀνὴρ ἀθεμίστια εἰδώς, o20.287
αἰεὶ ἐνὶ στήθεσσι νόον πολυκερδέα νωμῶν· o13.255
ὃς μέγα ἔργον ἔρεξεν ἀτασθαλίῃσι κακῇσι. o24.458 *
σχέτλιος οὐδὲ θεοῦ ὄπιν ⸢ᾐδέσατ⸣" οὐδὲ τράπεζαν, o21.28@
τὴν ⸢ἣν⸣ οἱ παρέθηκεν· ἔπειτα δὲ πέφνε καὶ αὐτόν. o21.29@
⸢ἀλλά γε⸣ μερμήριζε μένων ὅ τι κύντατον ⸢ἔρξει⸣. i10.503†
⸢καὶ δ⸣" ἀκέων κίνησε κάρη, κακὰ βυσσοδομεύων, *o17.465*†
σχέτλιος, ὀβριμοεργός, ὃς οὐκ ὄθετ' αἴσυλα ῥεζων, i5.403
⸢ὃς⸣ χρυσὸν φίλον ἀνδρὸς ἐδέξατο τιμήεντος. o11.327† *
κινήσας δὲ κάρη προτὶ ὃν μυθήσατο θυμόν· i17.442
 “ὢ πόποι, ὡς ὅδε πᾶσι φίλος καὶ τίμιός ἐστιν o10.38
ἀνθρώποις, ὅτεών κε πόλιν καὶ γαῖαν ἵκηται, o10.39
ἀνδράσιν ἐν πολλοῖσι καὶ ἰφθίμοισιν ἀνάσσων. o19.110
⸢ἦ⸣ μιν ἀποκτείνω, αἴ κε κρείσσων γε γένωμαι.” o22.167†
 ἀλλ' ὅ γ' ἄρ οὐδὲ θεὸν μέγαν ἅζετο· ἵετο δ' αἰεὶ i5.434†
πρεσβύτατον καὶ ἄριστον ἀτιμίῃσιν ἰάλλειν. o13.142
τῷ καὶ ἀτασθαλίῃσιν ἀεικέα πότμον ἐπέσπε· o22.317 *
νήπιος, οὐδέ τί οἱ ⸢τότ'⸣ ἐπήρκεσε λυγρὸν ὄλεθρον. i2.873@

*περὶ τοῦ μυστηρίου*

αὐτὰρ ⸢ὅ γ' ἐκ⸣ κρίνας ἑτάρων δυοκαίδεκ' ἀρίστους, o9.195†
ὄφρα οἱ αὐτόματοι θεῖον δυσαίατ' ἀγῶνα, i18.376
στῆσεν ἐῢ κρίνας, κρατερὸν δ' ἐπὶ μῦθον ἔτελλε i16.199

**1331** om. Iv **1332** αὐτὰρ ὁ ... ἔρδοι **1333** ἀλλ' **1340** ἤ **1344** τό γ' **1345** ἐγώ

i16.172 * σημαίνων· αὐτὸς δὲ μέγα κρατέων ἤνασσεν.
o 9.334 * οἱ δ' ἔλαχον τοὺς ἂν κε καὶ ἤθελεν αὐτὸς ἑλέσθαι.
i12.103 οἱ γάρ οἱ εἴσαντο διακριδὸν εἶναι ἄριστοι.
o17.386@ οὗτοι γὰρ κλειτοί γε βροτῶν ἐπ' ἀπείρονα γαῖαν
i12.104 τῶν ἄλλων μετά γ' αὐτόν· ὁ δ' ἔπρεπε καὶ διὰ πάντων.
i24.790 αὐτὰρ ἐπεί ῥ' ἤγερθεν ὁμηγερέες τ' ἐγένοντο,
o24.208 ἔνθα οἱ οἶκος ἔην, περὶ δὲ κλίσιον θέε πάντῃ,
o18.345@ ˹ὥρμαινε˺ φρεσὶν ᾗσιν, ἅ ῥ' οὐκ ἀτέλεστα γένοντο.
o2.36 οὐδ' ἄρ ἔτι δὴν ἧστο, μενοίνησεν δ' ἀγορεύειν.
o14.466 καί τι ἔπος προέηκεν ὅ πέρ τ' ἄρρητον ἄμεινον.
i3.97 "κέκλυτε νῦν καὶ ἐμεῖο· μάλιστα γὰρ ἄλγος ἱκάνει
i3.98 θυμὸν ἐμόν, φρονέω δὲ διακριθήμεναι ἤδη
i9.528 ˹βουλήν˺· ἐν δ' ὑμῖν ἐρέω πάντεσσι φίλοισι.
o12.154 ὦ φίλοι, οὐ γὰρ χρὴ ἕνα ἴδμεναι οὐδὲ δύ' οἴους.
o15.66 ἤδη γάρ μοι θυμὸς ἐέλδεται οἴκαδ' ἱκέσθαι
o3.2† οὐρανὸν ἐς πολύχαλκον, ἵν' ἀθανάτοισι ˹μετείην˺.
i9.649 ἀλλ' ὑμεῖς ἔρχεσθε καὶ ἀγγελίην ἀπόφασθε
o19.408 ἀνδράσιν ἠδὲ γυναιξὶν ἐπὶ χθόνα πουλυβότειραν,
i6.85 καὶ μάλα τειρόμενοί περ· ἀναγκαίη γὰρ ἐπείγει·
i9.312† ἐχθρός ˹κέν˺ μοι κεῖνος ὁμῶς' Ἀΐδαο πύλῃσιν,
i9.313 ὅς χ' ἕτερον μὲν κεύθῃ ἐνὶ φρεσίν, ἄλλο δὲ εἴπῃ.
o8.209 ἄφρων δὴ κεῖνός γε καὶ οὐτιδανὸς πέλει ἀνήρ.
o13.7 ὑμῶν δ' ἀνδρὶ ἑκάστῳ ἐφιέμενος τάδε εἴρω,
i16.282 μηνιθμὸν μὲν ἀπορρῖψαι, φιλότητα δ' ἑλέσθαι.
i16.84 * ὡς ἄν μοι τιμὴν μεγάλην καὶ κῦδος ἄρησθε,
i3.460 ἥ τε καὶ ἐσσομένοισι μετ' ἀνθρώποισι πέληται.
o9.11 τοῦτό τι μοι κάλλιστον ἐνὶ φρεσὶν εἴδεται εἶναι,
i2.10 πάντα μάλ' ἀτρεκέως ἀγορευέμεν ὡς ἐπιτέλλω.
i15.207 ἐσθλὸν καὶ τὸ τέτυκται, ὅτ' ἄγγελος αἴσιμα εἰδῇ.
i4.17@ εἰ δ' ˹αὔτως˺ τόδε πᾶσι φίλον καὶ ἡδὺ γένοιτο,

**1351** κλητοί **1353** οἱ δ' ἐπεὶ οὖν **1355** ὅρμαινε **1360** ὡς ἦν **1363** φαείνοι **1367** γὰρ **1377** αὖ πως

μάρτυροι ἔσσονται καὶ ἐπίσκοποι ἁρμονιάων, i 22.255
ἡμετέρης ἀρετῆς μεμνημένοι ˹ἤματα πάντα˺. o 8.244 * †
ἀλλ' ἄγε νῦν ἴομεν· δὴ γὰρ μέμβλωκε μάλιστα o 17.190
ἦμαρ, ἀτὰρ τάχα τοι ποτὶ ἕσπερα ῥίγιον ἔσται. o 17.191
ἔρχεσθε πρὸς δώμαθ', ἵν' ἐντυνώμεθα δαῖτα." o 17.175
Ὣς εἰπὼν εἰσῆλθε δόμους εὖ ναιετάοντας. o 17.324
αὐτίκα δ' εἴσω ἴεν, μετὰ δὲ μνηστῆρσι κάθιζεν. o 17.256

*περὶ τῆς κλάσεως τοῦ ἄρτου*

ἀλλ' ὅτε δὴ δειπνηστὸς ἔην καὶ ἐπήλυθεν ˹ὥρα˺ o 17.170 †
εὔχετο. τοὶ δ' ἅμα πάντες ˹ὑπ'˺ αὐτόφιν εἵατο σιγῇ *i 19.255* † @
ἄρτον τ' οὖλον ἑλὼν περικαλλέος ἐκ κανέοιο, o 17.343
χερσὶ διακλάσσας, μεγάλ' εὔχετο χεῖρας ˹ὀρεγνύς˺ i 5.216 + 1.450 †
δῶκε δ' ἑταίροισιν καί σφεας πρὸς μῦθον ἔειπεν, i 21.32 + 23.235
"˹ἄρτου˺ θ' ἅπτεσθον καὶ χαίρετον· αὐτὰρ ἔπειτα, o 4.60 †
μοίρας δασσάμενοι δαίνυντ' ἐρικυδέα δαῖτα. o 20.280
˹κὰδ˺ δὲ δέπας περικαλλές, ὅ οἱ παλάμῃσιν ἀρήρει, i 11.632 † + 3.338 *
ἀμβροσίης πλῆσας κέρασέν ˹κεν˺ νέκταρ ἐρυθρόν. o 5.93 * †
εὔχετ' ἔπειτα στὰς μέσῳ ἕρκεϊ, λεῖβε δὲ οἶνον, i 24.306
οὐρανὸν εἰσανιδών, καὶ φωνήσας ἔπος ηὔδα, i 24.307
"οἵ κ' ἐμὸν αἷμα πίοντες ἀλύσσονται περὶ θυμῷ, i 22.70
ἀθάνατοι δ' εἶεν καὶ ἀγήραοι ἤματα πάντα. cf. o 23.336
αἰεὶ δὴ μέλλοιτε ἀγήραοί τ' ἀθάνατοί τε i 12.323 *
ζώειν ˹ἠδ'˺ ἄνδρεσσι μετέμμεναι ˹ἀθανάτοισι˺. i 18.91 †
ὑμέων δ' ἀνδρὶ ἑκάστῳ ἐφιέμενος τάδε εἴρω, o 13.7
ὅσσοι ἐνὶ μεγάροισι γερούσιον αἴθοπα οἶνον o 13.8
αἰεὶ πίνετ' ἐμοῖσιν, ἀκουάζεσθε δ' ἀοιδῆς. o 13.9 *
˹ὅς˺ τις θαρσαλέος καὶ ἀναιδής ἐστι προΐκτης o 17.449 @ *

**1379** οἷα καὶ ἡμῖν **1385** μῆλα **1386** ἐπ' … ἥατο **1388** ἀνασχών **1389** σφεας **1390** σίτου **1392** πὰρ **1393** δὲ **1394** ηὔχετο δ' ἀναστὰς Iv **1399** ἠδ' conieci : οὐδ' Iv … ἀθανάτοισι correxi : ἀλλ' ἀθανάτοις Iv : αἴ κε μὴ Ἕκτωρ Hom **1402** ἀοιδοῦ **1403** ὥς

o10.460 ἀλλ’ ἄγετ’ ἐσθίετε βρῶμην καὶ πίνετε οἶνον
o4.592 * ἀθάνατον, ἐμέθεν μεμνημένοι ἤματα πάντα,
i4.309 τόνδε νόον καὶ θυμὸν ἐνὶ στήθεσσιν ἔχοντες.”
o21.206† ἐξαῦτις ⌜δ’⌝ ἐπέεσσιν ἀμειβόμενος προσέειπεν,
o2.310† “⌜ὦ πόποι⌝, οὔ πως ἔστιν ὑπερφιάλοισι μεθ’ ὑμῖν
o2.311 δαίνυσθαί τ’ ἀκέοντα καὶ εὐφραίνεσθαι ἕκηλον
o1.33 * + i10.378 ἐξ ὑμέων γὰρ φασὶ κάκ’ ἔμμεναι· ἔστι γὰρ ἔνδον
i9.313 * ὅς χ’ ἕτερον μὲν κεύθει ἐνὶ φρεσίν, ἄλλο δὲ εἴπῃ
i21.445 + 11.405 * μισθῷ ἐπὶ ῥητῷ· τὸ δὲ ῥίγιον αἴ κεν ἁλώῃ.
o8.209 ἄφρων δὴ κεῖνός γε καὶ οὐτιδανὸς πέλει ἀνήρ·
i19.417 μόρσιμόν ἐστι θεῷ τε καὶ ἀνέρι ἶφι δαμῆναι.
o18.274 ἀλλὰ τόδ’ αἰνὸν ἄχος κραδίην καὶ θυμὸν ἱκάνει.
i16.53 ὁππότε δὴ τὸν ὁμοῖον ἀνὴρ ἐθέλῃσιν ἀμέρσαι,
i9.63 ἀφρήτωρ ἀθέμιστος ἀνέστιος ἐστὶν ἐκεῖνος
i3.40 * αἴθ’ ὄφελεν ἄγονός τ’ ἔμεναι ἄγαμός τ’ ἀπολέσθαι
i3.42 ἢ οὕτω τ’ ἔμεναι καὶ ὑπόψιον ἄλλων
i2.248 * οὐ γὰρ ἐγὼ τοῦ φημι χερειότερον βροτὸν ἄλλον.
o22.165 * κεῖνος δ’ αὖτ’ ἀΐδηλος ἀνήρ, ὃν ὀΐομαι αὐτός.
o1.114 ἧστο γὰρ ἐν μνηστῆρσι φίλον τετιημένος ἦτορ,
i22.380@ ὃς κακὰ πόλλ’ ⌜ἔρδεσκεν⌝, ὅσ’ οὐ σύμπαντες οἱ ἄλλοι.
o3.161 σχέτλιος, ὅς ῥ’ ἔριν ὦρσε κακὴν ἔπι δεύτερον αὖτις,
o3.275 ἐκτελέσας μέγα ἔργον, ὃ οὔ ποτε ἔλπετο θυμῷ.”
*o 15.271* * τοὺς δ’ αὖτε προσέειπε θεοκλύμενος θεοειδής,
i23.492 * “μηκέτι νῦν χαλεποῖσιν ἀμείβεσθε ἐπέεσσι.
i23.494 * καὶ δ’ ἄλλῳ νεμεσᾶτε, ὅτις τοιαῦτά γε ῥέζοι.
o2.305 ἀλλά μοι ἐσθιέμεν καὶ πινέμεν, ὡς τὸ πάρος περ,
o4.239 καὶ μύθοις τέρπεσθε· ἐοικότα γὰρ καταλέξω.”
o17.481 ὣς ἔφαθ’, οἱ δ’ ἄρα πάντες ὑπερφιάλως νεμέσησαν·
i23.490 καί νύ κε δὴ προτέρῳ ἔτ’ ἔρις γένετ’ ἀμφοτέροισιν.

**1407** σφ’ **1408** Ἀντίνο’ **1423** ἔρρεξεν **1428** ὅτις Hom : ὅστις Iv

*περὶ τοῦ νιπτῆρος*

ὣς οἱ μὲν περὶ δεῖπνον ἐνὶ μεγάροισι πένοντο. *o 4.624*
αὐτὰρ ἐπεὶ δὴ σπεῦσε πονησάμενος ⸢τάδε⸣ ἔργα, *o 9.250*†
τοὺς ὅ γε συγκαλέσας πυκινὴν ἀρτύνετο βουλήν, *i 10.302*
οἵ οἱ κεδνότατοι καὶ φίλτατοι ἦσαν ἁπάντων. i 9.586
οἱ μὲν τάρβησάν τε καὶ αἰδόμενοι βασιλῆα i 1.331 *
ἕσταν. οὐδέ τί μιν προσεφώνεον οὐδ' ἐρέοντο· i 1.332 *
αὐτὰρ ὁ ἔγνω ᾗσιν ἐνὶ φρεσὶ φώνησέν τε, i 1.333
"⸢κλῦτε, φίλοι⸣, καὶ μή τι ⸢θυμῷ⸣ ἀγάσησθε ἕκαστος. i 14.111 †
ἤδη γάρ μευ θυμὸς ἐπέσσυται ⸢ὥστε νέεσθαι⸣. i 6.361 * †
νῦν δὲ δὴ ἐγγύθι μοι θάνατος κακός, οὐδ' ἔτ' ἄνευθεν, i 22.300
οὐδ' ἀλέη· ἦ γάρ ῥα πάλαι τό γε φίλτερον ἦεν i 22.301
πατρί τ' ἐμῷ καὶ ἐμοί· νῦν δὲ χρὴ τετλάμεν ἔμπης." o 3.209
ὣς ἔφαθ', οἱ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ *i 8.28*
μῦθον ἀγασσάμενοι· μάλα γὰρ κρατερῶς ἀγόρευσε. *i 8.29*
ἦμος δ' ἠέλιος κατέδυ καὶ ἐπὶ κνέφας ἦλθεν, o 12.31
τῶν πόδας ἐξαπένιζεν, ὕδωρ δ' ἐνεχεύατο ⸢πολλόν⸣. o 19.387 * @
καί σφιν ἄχος κατὰ θυμὸν ἐγίνετο δερκομένοισι. i 13.86
νίψατο δ' αὐτὸς χεῖρας, ἀφύσσατο δ' αἴθοπα οἶνον, i 16.230
ἡδὺν ἀκηράσιον, θεῖον ποτόν. οὐδέ τις αὐτὸν o 9.205
ἔγνω πρόσθ' ἀνδρῶν καλλιζώνων τε γυναικῶν, i 24.698
τοῦτό νυ καὶ γέρας οἶον ὀϊζυροῖσι βροτοῖσι. o 4.197
τὸν δ' ⸢ὅ κε⸣ πίνοιεν μελιηδέα οἶνον ἐρυθρόν. o 9.208 †
οὔτε τι πημανθῆναι ἔπι δέος οὔτ' ἀπολέσθαι, o 8.563
ὅς κε πίῃ καὶ πρῶτον ἀμείψεται ἕρκος ὀδόντων. o 10.328
αὐτὰρ ἐπεὶ δῶκέν τε καὶ ἔκπιον, αὐτίκ' ἔπειτα o 10.237
μύθοισιν τέρποντο πρὸς ἀλλήλους ἐνέποντες. i 11.643
τοῖσι δὲ καὶ μετέειπε θεοκλύμενος θεοειδής· o 17.151
"ὦ φίλοι, ἀνέρες ἔστε καὶ ἄλκιμον ἦτορ ἕλεσθε, i 5.529

**1434** τὰ ἃ **1440** πείθεσθαι ... κότῳ **1441** ὄφρ' ἐπαμύνω
**1448** πουλύ **1454** ὅτε **1457** ἐπεὶ Hom : ἐπὴν Iv

i5.530 * ἀλλήλους τ' αἰδεῖσθε κατὰ κρατερὴν ὑσμίνην.
i16.557 οἷοί περ πάρος ἦτε μετ' ἀνδράσιν, ἢ καὶ ἀρείους,
i22.416 σχέσθε, φίλοι, καί μ' οἶον ἐάσατε κηδόμενοί περ.
i2.252 οὐδέ τί πω σάφα ἴδμεν ὅπως ἔσται τάδε ἔργα.
i13.53 ᾗ ῥ' ὅ γ' ὁ λυσσώδης φλογὶ εἴκελος ἡγεμονεύει,
i22.70 * ὅς κ' ἐμὸν αἷμα ⌜πιών περ⌝ ἀλύσσεται περὶ θυμῷ.
i24.207 † ὠμηστὴς καὶ ἄπιστος ἀνὴρ ⌜ὅδε, οὐκ ἐλεήμων⌝.
i7.70 ἀλλὰ κακὰ φρονέων τεκμαίρεται ἀμφοτέροισιν,
i7.131 θυμὸν ἀπὸ μελέων δῦναι δόμον Ἄϊδος εἴσω."

*περὶ τοῦ προδότου Ἰούδα*

*i1.68* ἤτοι ὅ γ' ὣς εἰπὼν κατ' ἄρ ἕζετο· τοῖσι δ' ἀνέστη
i2.213 ὅς ῥ' ἔπεα φρεσὶ ᾗσιν ἄκουσμά τε πολλά τε ᾔδη.
o1.330 * κλίμακα δ' ὑψηλὴν κατεβήσατο τοῖο δόμοιο,
i1.103 † ⌜χωόμενος⌝. μένεος δὲ μέγα φρένες ἀμφὶ μέλαιναι
i1.104 πίμπλαντ', ὄσσε δέ οἱ πυρὶ λαμπετόωντι ἐΐκτην.
i1.343 οὐδέ τι οἶδε νοῆσαι ἅμα πρόσσω καὶ ὀπίσσω
i20.466 † νήπιος, οὐδὲ τὸ ᾔδη, ⌜ὅ περ⌝ πείσεσθαι ἔμελλεν
i9.630 ⌜νηλὴς⌝, οὐδὲ μετατρέπεται φιλότητος ἑταίρων,
o17.388 * ἀλλ' αἰεὶ χαλεπὸς περὶ πάντων ἦν μνηστήρων.
i10.316 † ὃς δή τοι ⌜ἦτορ⌝ μὲν ἔην κακός, ἀλλὰ ποδώκης,
i3.202 εἰδὼς παντοίους τε δόλους καὶ μήδεα πυκνά.
i24.476 ἔσθων καὶ πίνων· ἔτι καὶ παρέκειτο τράπεζα·
i10.503 * αὐτὰρ ὃ μερμήριζε μένων ὅ τι κύντατον ἕρδοι
i19.127 χωόμενος φρεσὶν ᾗσι, καὶ ὤμοσε καρτερὸν ὅρκον.
i2.53 βουλὴν δὲ πρῶτον μεγαθύμων ἷζε γερόντων·
i8.51 αὐτὸς δ' ἐν κορυφῇσι καθέζετο κύδεϊ γαίων.
i4.241 τοὺς μάλα νεικείεσκε χολωτοῖσιν ἐπέεσσιν.

**1462** περ Hom : τε Iv **1466** πίοντες **1467** ὅ γε οὐ σ' ἐλεήσει **1471** ᾔδη Hom : ἤδει Iv **1473** ἀχνύμενος **1476** ὃ οὐ … ᾔδη Hom : ἤδει Iv **1477** σχέτλιος **1479** εἶδος

⸢ὤτρυνεν⸣ δὲ ἕκαστον ἐποιχόμενος ἐπέεσσι, i 17.215@
"τίπτε καταπτώσσοντες ἀφέστατε, μίμνετε δ' ἄλλους; i 4.340
πῇ δὴ συνθεσίαι τε καὶ ὅρκια βήσεται ἡμῖν; i 2.339
ψευσάμενοι μαχόμεσθα· τῶ οὔ νύ τι κέρδιον ἡμῖν i 7.352
ἔλπομαι ἐκτελέεσθαι, ἵνα μὴ ῥέξομεν ὧδε. i 7.353
ἐν πυρὶ δὴ βουλαί τε γενοίατο μήδεά τ' ἀνδρῶν. i 2.340
αὔτως γάρ ⸢ῥ'⸣ ἐπέεσσ' ἐριδαίνομεν, οὐδέ τι μῆχος i 2.342@
εὑρέμεναι δυνάμεσθα, πολὺν χρόνον ἐνθάδ' ἐόντες. i 2.343
ἀλλ' ὑμεῖς μὲν πάντες ὕδωρ καὶ γαῖα γένοισθε, i 7.99
ἥμενοι αὖθι ἕκαστοι ἀκήριοι, ἀκλεὲς αὔτως. i 7.100
αἰσχρόν τοι δηρόν τε μένειν κενέον τε νέεσθαι. i 2.298
ἀλλὰ χρὴ καὶ ἐμὸν θέμεναι πόνον οὐκ ἀτέλεστον. i 4.57
ὢ πόποι, ὡς ὅδε πᾶσι φίλος καὶ τίμιός ἐστιν. o 10.38
τούνεκα πολλοῖσίν τε καὶ ἰφθίμοισιν ἀνάσσει, o 24.26 *
ὅς με μετ' ἀπρήκτους ἔριδας καὶ νείκεα βάλλει. i 2.376
αὐτὸς μὲν γὰρ ἐπιστήμων βουλῇ τε νόῳ τε. o 16.374
ἀλλ' ἄγε δή μοι πάντες ὀμόσσατε καρτερὸν ὅρκον, o 12.298
εἰ κεῖνόν γε ἴδοιμι κατελθόντ' Ἄϊδος εἴσω, i 6.284
ἦ ἵνα μηδ' ὄνομ' αὐτοῦ ἐν ἀντρώποισι λίπηται, o 4.710
φαίην κε φρέν' ἀτέρπου ὀϊζύος ἐκλελαθέσθαι." i 6.285
⸢Ὣς ἔφαθ', οἱ δ' ἄρα⸣ αὐτίκ' ⸢ἀπώμνυον⸣ ὡς ἐκέλευσε. o 12.303 * @
αὐτὰρ ἐπεί ῥ' ὄμοσάν τε τελεύτησάν τε τὸν ὅρκον, o 12.304
αὐτίκα κηρύκεσσι λιγυφθόγγοισι κέλευσε. i 2.442
οἱ μὲν ἐκήρυσσον, τοὶ δ' ἠγείροντο μάλ' ὦκα. i 2.52
ὣς εἰπὼν τοὺς μὲν λίπεν αὐτοῦ, βῆ δὲ μετ' ἄλλους *i 4.292*
κλήδην εἰς ἀγορὴν κικλήσκων ἄνδρα ἕκαστον, i 9.11 *
μηδὲ βοῶν· αὐτὸς δὲ μετὰ πρώτοισι πονεῖτο. i 9.12 *
ὀπτῆρας δὲ κατὰ σκοπιὰς ⸢ὤτρυνε⸣ νέεσθαι, o 17.430@
μὴ λάθοι αὖτις ⸢ἰών κε⸣ θοὴν διὰ νύκτα μέλαιναν i 10.468 *
τηλόθεν ἐν ⸢λείῳ⸣ πεδίῳ· παρὰ δὲ σκοπὸν εἷσεν, i 23.359†

**1487** ὄτρυνεν **1493** om. Hom **1507** ὣς ἐφάμην, οἱ δ' **1509** αὐτὰρ ὁ **1514** ὄτρυνε **1515** ἰόντε **1516** λείῳ deest in Iv

i18.322 * † εἴ ποθεν ἐξεύροι. μάλα γὰρ δριμὺς ⌜θυμὸς⌝ ᾕρει.
o17.255 αὐτὰρ ὃ βῆ, μάλα δ' ὦκα δόμους ἵκανεν ἄνακτος.
i12.299 βῆ δ' ἴμεν ὥς τε λέων ὀρεσίτροφος, ὅς τ' ἐπιδευὴς
i12.300 δηρὸν ἔῃ κρειῶν, κέλεται δέ ἑ θυμὸς ἀγήνωρ
i12.301 μήλων πειρήσοντα καὶ ἐς πυκινὸν δόμον ἐλθεῖν.
o17.256 αὐτίκα δ' εἴσω ἴεν, μετὰ δὲ μνηστῆρσι κάθιζε,
o18.154 νευστάζων κεφαλῇ· δὴ γὰρ κακὸν ὄσσετο θυμῷ.
i9.238 * † μαίνετο δ' ἐκπάγλως, πίσυνος ⌜βίῃ⌝, οὐδέ τι τῖεν
i9.239 * ἀνέρας οὐδὲ θεόν· κρατερὴ δέ ἑ λύσσα δέδυκεν.
o22.317 * τῷ καὶ ἀτασθαλίῃσιν ἀεικέα πότμον ἐπέσπε.
i9.546 τόσσος ἔην, πολλοὺς δὲ πυρῆς ἐπέβησ' ἀλεγεινῆς.
o14.111 αὐτὰρ ἐπεὶ δείπνησε καὶ ἤραρε θυμὸν ἐδωδῇ,
o4.535 δειπνήσας, ὡς ⌜λῖς⌝ τε κατέκτανε βοῦν ἐπὶ φάτνῃ,
i21.445 μισθῷ ἔπι ῥητῷ· ὁ δὲ σημαίνων ἐπέτελλεν
o14.337 ἐνδυκέως. τοῖσιν δὲ κακὴ φρεσὶν ἥνδανε βουλή.
o11.548 ὡς δὴ μὴ ὄφελεν νικᾶν τοιῷδ' ἐπ' ἀέθλῳ·
o11.549 * τοίην γὰρ κεφαλὴν ἕνεκ' αὐτοῦ γαῖα κατέσχεν.
o7.60 ἀλλ' ὁ μὲν ὤλεσε λαὸν ἀτάσθαλον, ὤλετο δ' αὐτὸς.

*περὶ τῆς νυκτὸς ἐν ᾗ παρεδόθη ὁ Κύριος*

o12.312 ἦμος δὲ τρίχα νυκτὸς ἔην, μετὰ δ' ἄστρα βεβήκει,
o21.206 † ἐξαῦτίς ⌜γ'⌝ ἐπέεσσιν ἀμειβόμενος προσέειπεν
i12.242 ὃς πᾶσι θνητοῖσι καὶ ἀθανάτοισιν ἀνάσσει·
o12.271 "κέκλυτέ μευ μύθων κακά περ πάσχοντες ἑταῖροι,
i8.355 ἀνδρὸς ἑνὸς ῥιπῇ, ὁ δὲ μαίνεται οὐκέτ' ἀνεκτῶς·
i21.533 * ἐγγὺς ὅδε κλονέει· νῦν οἴω λοίγι' ἔσεσθαι.
i8.361 σχέτλιος, αἰὲν ἀλιτρός, ἐμῶν μενέων ἀπερωεύς,
o9.215 * ἄγριος, οὔτε δίκας εὖ εἰδὼς οὔτε θέμιστας.
i15.94 οἷος ἐκείνου θυμὸς ὑπερφίαλος καὶ ἀπηνής.
i8.358 καὶ λίην οὗτός γε μένος θυμόν τ' ὀλέσειε

**1517** χόλος **1524** Διί **1529** τίς **1536** σφ'

δυσμενέες τ' ἄνδρες σχεδὸν εἵαται· οὐδέ τι ἴδμεν i10.100
μή τι κακὸν ῥέξωσι καὶ ἡμᾶς ἐξελάσωσι. o16.381
λίην γὰρ πολλοὶ καὶ ἐπήτριμοι ἤματα πάντα. i19.226
ἡμεῖς δὲ φραζώμεθ' ὅπως ἔσται τάδε ἔργα, o23.117 + 17.274
οἵ' ὁρόω ⌜δρηστῆρας⌝ ἀτάσθαλα μηχανόωντας. o18.143†
οὗτοι δ' ⌜ἐν⌝ θύρῃσι καθήμενοι ἑψιαάσθων. o17.530
ἀλλ' εἴ μοί τι πίθεσθε, τό κεν πολὺ κέρδιον εἴη, i7.28*
καὶ φυλακῆς μνήσασθε καὶ ἐγρήγορθε ἕκαστος i7.371
νύκτα δι' ἀμβροσίην, καὶ ἀΰπνους ὔμμε τίθεσθε, o9.404*
καὶ μάλα τειρόμενοί περ· ἀναγκαίη γὰρ ἐπείγει. i6.85
οὕτω νῦν, φίλα τέκνα, φυλάσσετε· μηδέ τιν' ὕπνος i10.192
νήγρετος ἥδιστος, θανάτῳ ἄγχιστα ἐοικώς, o13.80
αἱρείτω, μὴ χάρμα γενώμεθα δυσμενέεσσιν. i10.193
ἀλλ' ἤτοι ἐπὶ νυκτὶ φυλάξομεν ἡμέας αὐτούς· i8.529
τοῖος πᾶσιν θυμὸς ἐνὶ στήθεσσι γένοιτο· i4.289
ἀμφὶ μάλα φράζεσθε, φίλοι· κέλομαι γὰρ ἔγωγε i18.254
εὔχεσθαι· πάντες δὲ θεοῦ χατέουσ' ἄνθρωποι. o3.48*
ἐσθλὸν ⌜θείῳ⌝ χεῖρας ἀνασχέμεν, αἴ κ' ἐλεήσῃ. i24.301†
ὄρνυσθ' ἑξείης ἐπιδέξια πάντες ἑταῖροι. o21.141
μηδέ τις ἀρνείσθω· καλέσασθε δὲ θεῖον ἀοιδόν. o8.43
⌜ἀλλ' ἄγε, μίμνετε νῦν γε,⌝ ἐμοὶ ἐρίηρες ἑταῖροι, o9.172†
αὐτὰρ ἐγὼν εἶμι, κρατερὴ δέ μοι ἔπλετ' ἀνάγκη· o10.273
ἐν δέ τέ μοι κραδίη μεγάλα στέρνοισι πατάσσει. i13.282*
ὑμεῖς δέ, μνηστῆρες, ἐπίσχετε θυμὸν ἐνιπῆς o20.266
καὶ χειρῶν, ἵνα μή τις ἔρις καὶ νεῖκος ὄρηται. o20.267
ἀλλ' ἄγε μηκέτι ⌜δὴ⌝ κακὰ ῥέζετε δυσμενέοντες, o20.314†
θυμὸν ἐνὶ στήθεσσι φίλον δαμάσαντες ἀνάγκῃ. i19.66
ὦ φίλοι, ἤδη μέν κεν ἐγὼ εἴποιμι καὶ ἄμμι, o22.262
ὅς τίς κεν τλαίη, οἷ τ' αὐτῷ κῦδος ἄροιτο." i10.307
  δακρύσας δ' ἑτάρων ἄφαρ ἕζετο νόσφι λιασθείς. i1.349

**1549** μνηστῆρας **1550** ἠὲ **1562** γὰρ Διί **1565** ἄλλοι μὲν νῦν μίμνετ' **1570** μοι

o24.318 τοῦ δ' ὠρίνετο θυμός, ἀνὰ ῥῖνας δέ οἱ ἤδη
o24.319 δριμὺ μένος προὔτυψε φίλον πατέρ' εἰσορόωντι.
i23.507 στῆ δὲ μέσῳ ἐν ἀγῶνι, πολὺς δ' ἀνεκήκιεν ἱδρώς.
i1.351†* πολλὰ δὲ ⌜πατρὶ⌝ φίλῳ ἠρήσατο χεῖρας ὀρεγνύς.

*περὶ τῆς τοῦ Κυρίου προσευχῆς*

i5.872† "⌜ὦ⌝ πάτερ, οὐ νεμεσίζῃ ὁρῶν τάδε καρτερὰ ἔργα;
i13.633 οἷον δὴ ἄνδρεσσι χαρίζεαι ὑβριστῇσι,
o19.498*@ οἵ τέ μ' ἀτιμάζουσι καὶ οἳ ⌜νηλιτεῖς⌝ εἰσιν.
o24.458* οἳ μέγα ἔργον ἔρεξαν ἀτασθαλίῃσι κακῇσι.
o5.18 νῦν αὖ παῖδ' ἀγαπητὸν ἀποκτεῖναι μεμάασιν,
i24.365 οἵ τοι δυσμενέες καὶ ἀνάρσιοι ἐγγὺς ἔασι.
o18.168 οἵ τ' εὖ μὲν βάζουσι, κακῶς δ' ὄπιθεν φρονέουσιν.
i1.393@ ἀλλὰ σύ, εἰ δύνασαί γε, περίσχεο παιδὸς ⌜ἑοῖο⌝,
o9.529* εἰ ἐτεόν γε σός εἰμι, πατὴρ δ' ἐμὸς εὔχεαι εἶναι.
i1.564 εἰ δ' οὕτω τοῦτ' ἐστίν, ἐμοὶ μέλλει φίλον εἶναι,
o12.383 δύσομαι εἰς Ἀΐδαο καὶ ἐν νεκύεσσι φαείνω.
o18.317 αὐτὰρ ἐγὼ τούτοισι φάος πάντεσσι παρέξω.
i12.369† αἶψα δ' ἐλεύσομαι αὖτις, ἐπὴν ⌜τοῖς εὖ⌝ ἐπαμύνω,
i23.894 εἰ σύ γε σῷ θυμῷ ἐθέλοις· κέλομαι γὰρ ἔγωγε.
i18.121 κείσομ' ἐπεί κε θάνω· νῦν δὲ κλέος ἐσθλὸν ἀροίμην.
i22.235 νῦν δ' ἔτι καὶ μᾶλλον νοέω φρεσὶ τιμήσασθαι.
o3.380† ἀλλὰ ⌜πάτερ⌝ ἵληθι, δίδωθι δέ μοι κλέος ἐσθλόν."
i2.786 + 19.130 καὶ τότ' ἄρ ἄγγελος ἦλθεν ἀπ' οὐρανοῦ ἀστερόεντος,
i17.499* ἀλκῆς καὶ σθένεος πλήσας φρένας ἀμφὶ μελαίνας.
o1.324 αὐτίκα δὲ μνηστῆρας ἐπῴχετο ἰσόθεος φώς·
o2.397† οἱ δ' εὕδειν ὤρνυντο κατὰ ⌜δόμον⌝, οὐδ' ἄρ' ἔτι δὴν
o2.398 εἵατ', ἐπεί σφισιν ὕπνος ἐπὶ βλεφάροισιν ἔπιπτεν.

**1578** μητρὶ **1580** Ζεῦ **1582** νήλιτιδες **1587** ἑῆος
**1592** εὖ τοῖς **1596** ἄνασσ' **1600** πτόλιν

ἐξαῦτις ⸢δ'⸣ ἐπέεσσιν ἀμειβόμενος προσέειπε, o21.206†
"μηκέτι νῦν εὕδοντες ἀωτεῖτε γλυκὺν ὕπνον. o10.548
οὐ χρὴ παννύχιον εὕδειν βουληφόρον ἄνδρα. *i2.24*
ἀλλ' ἴομεν· μάλα γὰρ νὺξ ἄνεται, ἐγγύθι δ' ἠώς. i10.251
⸢ἴομεν⸣. ἀλλ' ἔτ' ὄπισθεν ἀμέτρητος πόνος ⸢ἐστί⸣, o23.249†@
πολλὸς καὶ χαλεπός, τὸν ἐμὲ χρὴ πάντα τελέσσαι." o23.250
ὣς φάτο, τοῖς δ' ἀσπαστὸν ἐείσατο κοιμηθῆναι o8.295*
καὶ τότε ⸢κεν⸣ βλεφάρων ἐξέσσυτο νήδυμος ὕπνος. o12.366†

*περὶ τῆς προδοσίας*

οὔ πω πᾶν εἴρητο ἔπος ὅτ' ἄρ ἤλυθον αὐτοί, i10.540
ἔσθλ' ἀγορεύοντες, κακὰ δὲ φρεσὶ βυσσοδόμευον. o17.66
αὐτὸς δ' ἐν πρώτοισι μέγα φρονέων ἐβεβήκει, i11.296
ὃς κακὰ πόλλ' ⸢ἔρδεσκεν⸣ ὅσ' οὐ σύμπαντες οἱ ἄλλοι. i22.380@
ὣς δ' εἶδ', ὥς μιν μᾶλλον ἔδυ χόλος, ἐν δέ οἱ ὄσσε i19.16
αἱματόεντε πέλον, δεινὸς δ' εἰς ὦπα ἰδέσθαι. o22.405*
αὐτὰρ ὅ γ' ἐξοπίσω ἀνεχάζετο, αὖε δ' ἑταίρους. i11.461
ἦλθον ἔπειθ' ὅσα φύλλα καὶ ἄνθεα γίνεται ὥρῃ o9.51
ὅπλ' ἐν χερσὶν ἔχοντες χάλκεα, πείρατα τέχνης, o3.433*
νήπιοι ἀγροιῶται, ἐφημέρια φρονέοντες, o21.85
ψεῦσταί τ' ὀρχησταί τε, χοροιτυπίῃσιν ἄριστοι, i24.261
⸢σχέτλιοι⸣, οὔτε δίκας εὖ εἰδότες, οὔτε θέμιστας. o9.215*†
οὔτε θεὸν δείσαντο, ὃς οὐρανὸν εὐρὺν ἔχησιν, o22.39*
οὔτε τιν' ἀνθρώπων νέμεσιν κατόπισθεν ἔσεσθαι. o22.40
τῶν ὕβρις τε βίη τε σιδήρεον οὐρανὸν ἵκει, o15.329
ἐρχομένων ἄμυδις· μάλα κεν θρασυκάρδιος εἴη i13.343
ὃς τότε γηθήσειεν ἰδὼν πόνον οὐδ' ἀκάχοιτο. i13.344
οὐδ' εἴ οἱ κραδίη γε σιδηρέη ἔνδοθεν ἦεν. o4.293
ἀμφὶ δέ μιν ⸢δρηστῆρες⸣ ἀγήνορες ἠγερέθοντο. o17.65†

**1602** σφ' **1606** ἤλθομεν ... ἔσται **1609** μοι **1613** ἔρρεξεν
**1621** ἄγριον **1628** μνηστῆρες

o14.262 οἱ δ' ὕβρει εἴξαντες, ἐπισπόμενοι μένεϊ σφῷ,
i12.153 λαοῖσιν καθύπερθε πεποιθότες ἠδὲ βίηφιν,
*i10.83* νύκτα δι' ὀρφναίην, ὅτε θ' εὕδουσι βροτοὶ ἄλλοι,
o7.101 * ἔστασαν αἰθομένας δαΐδας μετὰ χερσὶν ἔχοντες·
i16.601† στὰν δ' ἀμφ' αὐτὸν ἰόντες ἀολλέες ⌜ἄλλοθεν ἄλλος⌝,
o2.236 ἔρδειν ἔργα βίαια κακορραφίῃσι νόοιο.
o18.111@ ἡδὺ ⌜γελώοντες⌝ καὶ δεικανόωντ' ἐπέεσσι,
i3.342 δεινὸν δερκόμενοι, θάμβος δ' ἔχεν εἰσορόωντας,
o14.282 ἱέμενοι κτεῖναι· δὴ γὰρ κεχολώατο λίην.
o14.289 τρώκτης, ὃς δὴ πολλὰ κάκ' ἀνθρώποισιν ἐώργει.
o10.437 τούτου γὰρ καὶ ἐκεῖνοι ἀτασθαλίῃσιν ὄλοντο.
o17.364 ἀλλ' οὐδ' ὧς τιν' ἔμελλ' ἀπαλεξήσειν κακότητος.
i10.47 οὐ γάρ πω ἰδόμην, οὐδ' ἔκλυον αὐδήσαντος
i10.48 ἄνδρ' ἕνα τοσσάδε μέρμερ' ἐπ' ἤματι μητίσασθαι.
i22.93 ὡς δὲ δράκων ἐπὶ χειῇ ὀρέστερος ἄνδρα μένῃσι,
i22.94 βεβρωκὼς κακὰ φάρμακ', ἔδυ δέ τέ μιν χόλος αἰνός,
i22.95 σμερδαλέον δὲ δέδορκεν ἑλισσόμενος περὶ χειῇ·
i22.96† ὣς ⌜ἄρ' ὅ γ'⌝ ἄσβεστον ἔχων μένος οὐχ ὑπεχώρει.
i14.142 ἀλλ' ὁ μὲν ὣς ἀπόλοιτο, θεὸς δέ ἑ σιφλώσειε.
o20.350 τοῖσι δὲ καὶ μετέειπε θεοκλύμενος θεοειδής·
i8.413 "πῇ μέματον; τί σφῶιν ἐνὶ φρεσὶ μαίνεται ἦτορ;
o21.198 εἴπαθ' ὅπως ὑμέας κραδίη θυμός τε κελεύει.
o20.315 εἰ δ' ἤδη μ' αὐτὸν κτεῖναι μενεαίνετε χαλκῷ,
o20.316 καί κε τὸ βουλοίμην, καί κεν πολὺ κέρδιον εἴη
o20.317 τεθνάμεν ἢ τάδε γ' αἰὲν ἀεικέα ἔργ' ὁράασθαι."
o9.282† * ⌜καὶ τότ' ἂρ⌝ ἄψορρον προσέφη δολίοις ἐπέεσσι,
i22.380@ ὃς κακὰ πόλλ' ⌜ἔρδεσκεν⌝ ὅσ' οὐ σύμπαντες οἱ ἄλλοι,
i1.325 ἐλθὼν σὺν πλεόνεσσι· τό οἱ καὶ ῥίγιον ἔσται.
i4.79 κὰδ δ' ἔθορ' ἐς μέσσον· θάμβος δ' ἔχεν εἰσορόωντας.
i17.281 ἴθυσεν δὲ διὰ προμάχων συῒ εἴκελος ἀλκὴν

**1633** οὐδ' ἂρ Ἀχαιοὶ **1635** γελώωντες **1646** Ἕκτωρ **1654** ἀλλά μιν **1655** ἔρρεξεν

καπρίῳ, ὅς τ' ἐν ὄρεσσι κύνας θαλερούς τ' αἰζηοὺς i 17.282
ῥηϊδίως ἐκέδασσεν, ⸢ἀλυξάμενος⸣ διὰ βήσσας. i 17.283†
καί οἱ μυίης θάρσος ἐνὶ στήθεσσι ἐνῆκεν, i 17.570
ἥ τε καὶ ἐργομένη μάλα περ χροὸς ἀνδομέοιο i 17.571
ἰσχανάᾳ δακέειν, λαρὸν τέ οἱ αἷμ' ἀνθρώπου. i 17.572
ὄφρα τί μιν προτιείποι ἀμειβόμενος ἐπέεσσι, i 22.329
κύσσε δέ μιν περιφὺς ἐπιάλμενος ἠδὲ προσηύδα o 24.320
μειλιχίοις ἐπέεσσι, νόος δέ οἱ ἄλλα μενοίνα, o 18.283
"ὦ φιλ', ἐπεί σε πρῶτα κιχάνω τῷδ' ἐνὶ χώρῳ, o 13.228
χαῖρέ τε καὶ μή μοί τι κακῷ νόῳ ἀντιβολήσαις. o 13.229
καὶ δέ σοι αὐτῷ θυμὸς ἐνὶ φρεσὶν ἵλαος ἔστω. i 19.178
οἶδα δ' ὅτι σὺ μὲν ἐσθλός, ἐγὼ δὲ σέθεν πολὺ χείρων." i 20.434
αὐτὰρ ὁ ἔγνω ᾗσιν ἐνὶ φρεσὶ φώνησέν τε i 1.333
"ὤ μοι ἀναιδείην ἐπιειμένε, κερδαλεόφρον, i 1.149
φθέγγεο, μηδ' ἀκέων ἐπ' ἔμ' ἔρχεο· τίπτε δέ σε χρεώ; i 10.85
ἦ τινά που δόλον ἄλλον ὀΐεαι, οὐδέ τί σε χρή. o 10.380
σχέτλιε, τίπτ' ἔτι μεῖζον ἐνὶ φρεσὶ μήσεαι ἔργον; o 11.474
ἔρξον ὅπως ἐθέλεις καί τοι φίλον ἔπλετο θυμῷ. o 13.145
δαιμόνι', οὔτε τί σε ῥέζω κακὸν οὔτ' ἀγορεύω. o 18.15
αἰεί τοι τὰ κάκ' ἔστι φίλα φρεσὶ ⸢μυθεύεσθαι⸣. i 1.107†
ἐσθλὸν δ' οὔτε τί πω εἶπας ἔπος οὔτ' ἐτέλεσσας. i 1.108
νηπύτι', ὡς ἄνοον κραδίην εἶχες ⸢μενεαίνων⸣. i 21.441 * †
ταῦτα μὲν οὕτω πάντα πεπείρανται· σὺ ⸢δὲ αἶψα⸣ o 12.37†
⸢ῥέξον⸣ ὅ τι φρονέεις· τελέσαι δέ σε θυμὸς ἀνώγει. o 5.89† *
πάντα με θαρσαλέως, κύον ἀδδεές, οὔ τί με λήθεις o 19.91
⸢ἔρδων κεν⸣ μέγα ἔργον, ὃ σῇ κεφαλῇ ἀναμάξεις· o 19.92 *
μήτε τί μοι ψεύδεσσι χαρίζεο μήτε τι θέλγε. o 14.387
οὐ γὰρ τοὔνεκ' ἐγώ σ' ⸢αἰδήσομαι⸣, οὐδὲ φιλήσω. o 14.388@
αἰεί τοι κραδίη πέλεκυς ὥς ἐστιν ἀτειρής. i 3.60

**1660** ἑλιξάμενος **1678** μαντεύεσθαι **1680** οὐδὲ νύ τῶν περ **1681** δ' ἄκουσον **1682** αὔδα **1684** ἔρδουσα **1686** αἰδέσσομαι

i3.63 * ὥς τοι ἐνὶ στήθεσσιν ἀτάρβητος νόος ἐστί.
i22.356@ ἦ σ' εὖ γινώσκων προτιόσσομαι· ⌜οὐ γὰρ⌝ ἔμελλον
i22.357 πείσειν· ἦ γὰρ σοί γε σιδήρεος ἐν φρεσὶ θυμός.
i19.421 εὖ νυ τὸ οἶδα καὶ αὐτὸς ὅ μοι μόρος ἐνθάδ' ὀλέσθαι.
i8.477 ὥς γὰρ θέσφατόν ἐστι· σέθεν δ' ἐγὼ οὐκ ἀλεγίζω
i8.478† ⌜μαινομένου⌝, οὐδ' εἴ κε τὰ νείατα πείραθ' ἵκηαι.
o21.348@ τῶν οὔ τίς μ' ἀέκοντα βιήσεται, αἴ κ' ⌜ἐθέλοιμι⌝,
i8.450 * ⌜πάντα περ⌝ οἷον ἐμόν γε μένος καὶ χεῖρες, ἄαπτοι.
o21.372† ὦς γὰρ πάντων τόσσον, ὅσοι κατὰ ⌜σώματ⌝' ἔασι
o21.373†@ ⌜δρηστήρων⌝, ⌜χείρεσσι⌝ βίηφί τε φέρτερος εἴην.
o19.493 οἶσθα μὲν οἷον ἐμὸν μένος ἔμπεδον οὐδ' ἐπιεικτόν.
o5.379 ἀλλ' οὐδ' ὥς σε ἔολπα ὀνόσσεσθαι κακότητος.
o13.293 σχέτλιε, ποικιλομῆτα, δόλων ἆτ', οὐκ ἄρ' ἔμελλες
i5.120 δηρὸν ἔτ' ὄψεσθαι λαμπρὸν φάος ἠελίοιο.
i4.339 καὶ σύ, κακοῖσι δόλοισι κεκασμένε, κερδαλεόφρον,
i24.40† ⌜οὐκέτι τοι⌝ φρένες εἰσὶν ἐναίσιμοι οὔτε νόημα.
i6.326 δαιμόνι', οὐ μὲν καλὰ χόλον τόνδ' ἔνθεο θυμῷ.
i16.30 μή τινα γ' οὖν οὗτός γε λάβοι χόλος, ὃν σὺ φυλάσσεις.
i6.352† ⌜σοὶ γὰρ⌝ δ' οὔτ' ἂρ νῦν φρένες ἔμπεδοι οὔτ' ἂρ ὀπίσσω
i6.353 ἔσσονται· τῶ κέν μιν ἐπαυρήσεσθαι ὀΐω.
i9.249 * αὐτῷ σοι μετόπισθ' ἄχος ἔσσεται, οὐδέ τι μῆχος
i9.250† ῥεχθέντος κακοῦ ἔστ' ἄκος εὑρεῖ, ⌜ὣς ἀπόλοιο⌝.
i17.41 ἀλλ' οὐ μὰν ἔτι δηρὸν ἀπείρητος πόνος ἔσται.
o22.325 τῷ οὐκ ἂν θάνατόν γε δυσηλεγέα προφύγοισθα,
o11.278 *† ἁψάμενος βρόχον αἰπὺν ἀφ' ⌜ὑψορόφοιο⌝ μελάθρου.
o22.67† ⌜οὐδέ σε μᾶν⌝ φεύξεσθαι ὀΐομαι αἰπὺν ὄλεθρον.
i5.643 σοὶ δὲ κακὸς μὲν θυμός, ἀποφθινύθουσι δὲ λαοί.
o18.225 σοί κ' αἶσχος λώβη τε μετ' ἀνθρώποισι πέλοιτο.

**1689** οὐδ' ἄρ **1693** χωομένης **1694** ἐθέλωμι **1695** πάντως **1696** αἳ ... δώματα **1697** μνηστῆρων ... χερσίν τε **1703** ᾧ οὔτ' ἂρ **1705** τινα **1706** τούτῳ **1709** ἀλλὰ πολὺ πρὶν **1712** ὑψηλοῖο **1713** μᾶν conieci : οὐδέ σε Steph : ἀλλά τιν' οὐ Hom

τῶ σ᾽ αὖ νῦν ὀΐω ἀποτισέμεν ὅσσά ⌜μ᾽⌝ ἔοργας. i21.399@
οὐ γὰρ ἐγὼ σέο φημὶ χερειότερον βροτὸν ἄλλον. i2.248
αἰεὶ γάρ τοι ἔρις τε φίλη πόλεμοί τε μάχαι τε. i1.177
νηπύτι᾽, οὐδέ νύ πώ περ ἐπεφράσω ὅσσον ἀρείων i21.410
εὔχομ᾽ ἐγὼν ἔμεναι, ὅτι μοι μένος ⌜ἀντιφερίζεις⌝; i21.411@
τῶν οὔ τίς μ᾽ ἀέκοντα βιήσεται αἴ κ᾽ ἐθέλοιμι. o21.348
αἰὲν ἀναιδείην ἐπιειμένε, οὐδ᾽ ἂν ἔμοιγε i9.372*
τετλαίης κύνεός περ ἐὼν εἰς ὦπα ἰδέσθαι. i9.373*
ἆ δεῖλ᾽, ἦ μάλα δή σε κιχάνεται αἰπὺς ὄλεθρος.” i11.441
ὣς ἔφαθ᾽, οἱ δ᾽ ἄρα πάντες ὀδὰξ ἐν χείλεσι φύντο. o1.381*
αὐτὰρ ὁ παρ λαμπτῆρσι φαείνων αἰθομένοισιν o18.343
ἑστήκειν ἐς πάντας ὁρώμενος· ἄλλα δέ οἱ κῆρ o18.344
⌜ὥρμαινε⌝ φρεσὶν ᾗσιν, ἅ ῥ᾽ οὐκ ἀτέλεστα γένοντο. o18.345@

*περὶ τῆς κρατήσεως καὶ τοῦ ἐμπαιγμοῦ*

τοὶ δ᾽ ἄρ᾽ ⌜ἐπαΐξαντες ἕλον⌝, ἔρυσάν τέ μιν εἴσω· o22.187*
ἕλσαν δ᾽ ἐν μέσσοισι μετὰ σφίσι λῆμα τιθέντες. i11.413
πλείοσί τ᾽ ἐν δεσμοῖσι δέον, μᾶλλόν τε ⌜πιέζευν⌝, o12.196*@
⌜ἀλλήλοισι γέλωτα⌝ καὶ εὐφροσύνην ⌜τιθέοντες⌝. o20.8@†
ἐν δ᾽ αὐτὸς κίεν ᾗσι προθυμίῃσι πεποιθὼς i2.588
καρπαλίμως κατὰ ἄστυ· φίλοι δ᾽ ἅμα πάντες ἕποντο i24.327
πόλλ᾽ ὀλοφυρόμενοι ὡς εἰ θάνατόνδε κιόντα. i24.328
οἱ δ᾽ ἐπελώβευον καὶ ἐκερτόμεον ἐπέεσσιν, o2.323
“τίς πόθεν εἰς ἀνδρῶν; πόθι τοι πόλις ἠδὲ τοκῆες; o24.298
τίς δὲ σύ ἐσσι, φέριστε, καταθνητῶν ἀνθρώπων;” i6.123
ὣς ἄρα τις εἴπεσκεν· ὁ δ᾽ οὐκ ἐμπάζετο μύθων, i4.85 + o17.488
βαλλόμενος καὶ ἐνισσόμενος τετληότι θυμῷ. o24.163
⌜ἐκ δέ κεν⌝ εἵματα ἕσσαν ἐπήρατα, θαῦμα ἰδέσθαι. o8.366†

**1716** μ᾽ om. Hom **1720** ἰσοφαρίζεις **1728** ὅρμαινε **1731** πίεζον **1732** ἀλλήλῃσι γέλω τε ... παρέχουσαι **1741** ἀμφὶ δὲ

o 2.324 ὧδε δέ τις εἴπεσκε νέων ὑπερηνορεόντων,
i 7.171 "κλήρῳ νῦν πεπάλασθε διαμπερές, ὅς κε λάχῃσιν
o 14.209 παῖδες ὑπέρθυμοι." καὶ ἐπὶ κλήρους ἐβάλοντο,
i 22.493 * ἄλλος μὲν χλαῖναν ἐρύων, ἄλλος δὲ χιτῶνα.
i 10.133 ἀμφὶ δ' ἄρα χλαῖναν περονήσατο φοινικόεσσαν.
o 24.441 * ἔστη δ' ἐν μέσσοισι· τάφος δ' ἕλεν ἄνδρα ἕκαστον.
o 8.505 ὣς ὁ μὲν εἱστήκει, τοὶ δ' ἄκριτα πόλλ' ἀγόρευον.
o 17.438 * φύζαν ⌜δ' οἷς⌝ ἑτάροισι κακὴν βάλον, οὐδέ τις ἔτλη
o 17.439 στῆναι ἐναντίβιον· περὶ γὰρ κακὰ πάντοθεν ἔστη
o 9.295 * σχέτλια ἔργ' ὁρόωσιν· ἀμηχανίν δ' ἔχε θυμόν.
i 9.3 πένθεϊ δ' ἀτλήτῳ βεβολήατο πάντες ἄριστοι,
o 22.43 πάπτηνεν δὲ ἕκαστος ὅπη φύγοι αἰπὺν ὄλεθρον.
o 10.259 οἱ δ' ἅμ' ἀϊστώθησαν ἀολλέες, οὐδέ τις αὐτῶν
o 10.260 ἐξεφάνη· δηρὸν δὲ καθήμενοι ἐσκοπίαζον,
i 17.375 * πόλλον ἀφεσταότες. ὁ δ' ἐνὶ μέσῳ ἄλγε' ἔπασχε.

*περὶ τῆς ἀρνήσεως τοῦ Πέτρου*

cf. o 2.157 αὐτὰρ ὅγ' ἐν προδόμοισι καθῆστο γέρων ἁλιθέρσης
o 10.225 ὅς οἱ κήδιστος ἑτάρων ἦν κεδνότατός τε,
i 23.225 ἑρπύζων παρὰ πυρκαϊὴν, ἀδινὰ στοναχίζων.
i 22.33 ᾤμωξεν δ' ὁ γέρων, κεφαλὴν δ' ὅ γε κόψατο χερσὶν,
i 22.34 † ὑψόσ' ἀνασχόμενος, ⌜μέγ' ἀνοιμώξας⌝ ἐγεγώνει.
i 10.244 οὗ πέρι μὲν πρόφρων κραδίη καὶ θυμὸς ἀγήνωρ
i 10.245 † ἐν πάντεσσι πόνοισι, φίλει δέ ἑ ⌜ἔξοχα πάντων⌝.
i 16.509 † ὠρίνθη δέ οἱ ἦτορ ⌜καὶ⌝ οὐ δύνατο προσαμῦναι.
i 14.13 στῆ δ' ἐκτὸς κλισίης, τάχα δ' εἴσιδεν ἔργον ἀεικές.
o 17.303 ἆσσον δ' οὐκέτ' ἔπειτα δυνήσατο οἷο ἄνακτος
o 17.304 ἐλθέμεν· αὐτὰρ ὃ νόσφιν ἰδὼν ἀπομόρξατο δάκρυ.
o 20.6 † ⌜ἦν δ'⌝ ἐγρηγορόων. ταὶ δ' ἐκ μεγάροιο γυναῖκες

1761 μέγα δ' οἰμώξας 1763 Πάλλας Ἀθήνη 1764 ὅ τ' 1768 κεῖτ'

ἤϊσαν, αἳ ⸢δρηστῆρσιν⸣ ἐμισγέσκοντο πάρος περ. o 20.7†
τοῦ δ' ὠρίνετο θυμὸς ἐνὶ στήθεσσι φίλοισι. o 20.9
ἂψ ⸢δ' ἄρ⸣' ἐπ' οὐδὸν ἰὼν κατ' ἄρ ἕζετο. τοὶ δ' ἴσαν εἴσω o 18.110@
ἡδὺ γελώωντες καὶ δεικανόωντ' ἐπέεσσι. o 18.111
καὶ τότε δή τις ἔειπε γυναικῶν, ἣ σάφα ᾔδη o 2.108
ἕρδειν ἔργα βίαια κακορραφίῃσι νόοιο o 2.236
οὐλομένη, ᾗ τ' αἰὲν ἀήσυλα ἔργα μέμηλεν, i 5.876 *
δεινὸν ἀποπνείουσα πυρὸς μένος αἰθομένοιο, i 6.182
θάρσος ἄητον ἔχουσα, μέγας δέ ἑ θυμὸς ἀνῆκεν. i 21.395 *
"μήτις ἔτι πρόφρων ἀγανὸς καὶ ἤπιος ἔστω. o 2.230
ἐγγὺς ἀνὴρ ὃς ἐμόν γε μάλιστ' ἐσεμάσσατο θυμόν, i 20.425
ὅς μοι ἑταῖρον ⸢ἔκοψε⸣ τετιμένον, ⸢οὔας ἀπούρας⸣." i 20.426†
δεινὰ δ' ὁμοκλήσασ' ἔπεα πτερόεντα προσηύδα, i 20.448 *
"ὦ γέρον, οὐχ ἑκὰς οὗτος ἀνήρ, ⸢μάλα⸣ δ' εἴσεαι αὐτός· o 2.40@
⸢ἦ⸣ τέ οἱ ἐξ ἀρχῆς πατρώϊος ἦσθα ἑταῖρος." *o 2.254*† *
ὣς ἔφατ', αὐτὰρ ⸢τοῦδε⸣ κατεκλάσθη φίλον ἦτορ. *o 4.481*†
θαύμαζεν δ' ὁ γεραιός, ὅπως ἴδεν ὀφθαλμοῖσι. o 3.373
οὐδέ τι ἐκφάσθαι δύνατο ἔπος, ἱέμενός περ, o 10.246
κῆρ ἄχεϊ μεγάλῳ ⸢βεβλημένος⸣. ἐν δέ οἱ ὄσσε o 10.247@
δακρυόφιν πίμπλαντο, γόον δ' ὠΐετο θυμός. o 10.248
πολλὰ δὲ μερμήριζε κατὰ φρένα καὶ κατὰ θυμὸν o 20.10
ὕστατα καὶ πύματα, κραδίη δέ οἱ ἔνδον ὑλάκτει. o 20.13
αὐτὰρ ὅ γ' ἠρνεῖτο στερεῶς, ἐπὶ δ' ὅρκον ὄμοσσεν. i 23.42
αὐτὰρ ἐπεὶ δὴ τεῦξε δόλον κεχολωμένη ⸢ἥρῳ⸣, o 8.276 * †
βῆ ῥ' ἴμεν ἐς θάλαμον, ὅθι οἱ φίλα δέμνια κεῖτο. o 8.277
ἀλλ' ὅτε δή ῥ' ἐκτὸς θυρέων ἦν ἠδὲ καὶ αὐλῆς, o 21.191 *
δή ῥα τότ' ᾤμωξέν τε καὶ ὣ πεπλήγετο μηρὼ i 12.162
χερσὶ καταπρηνέσσι. δάκρυα δὲ ἔκβαλε θερμά, cf. o 19.467 + 362
ὅττι ῥά οἱ πάμπρωτα θεόν γ' ⸢ἠρνήσατο⸣ πάντων. i 17.568†

1769 μνηστῆρσιν 1771 δ' ὅ γε 1780 ἔπεφνε ... οὐδ' ἂν ἔτι δὴν 1782 τάχα 1783 οἵ 1784 ἐμοί γε 1787 βεβολημένος 1792 Ἄρει 1796 ἠρήσατο

o4.539 * † κλαῖεν δ' ἐν ⌜κονίῃσι⌝ καθήμενος, οὐδέ νυ οἱ κῆρ
o4.540 ἤθελ' ἔτι ζώειν καὶ ὁρᾶν φάος ἠελίοιο.
o24.316 ἀμφοτέρῃσι δὲ χερσὶν ἑλὼν κόνιν αἰθαλόεσσαν,
i18.24 χεύατο κὰκ κεφαλῆς, χάριεν δ' ᾔσχυνε πρόσωπον.
o4.542 * δὴ τότε μιν προσέειπε γέρων ἅλιος νημερτής·
o11.427 "ὣς οὐκ αἰνότερον καὶ κύντερον ἄλλο γυναικός,
o11.428 ἥτις δὴ τοιαῦτα μετὰ χερσὶν ἔργα βάληται."
i22.77 ἦ ῥ ὁ γέρων, πολιὰς δ' ἄρ' ἀνὰ τρίχας ἕλκετο χερσί,
o4.678 αὐλῆς ἐκτὸς ἐών· οἱ δ' ἔνδοθι μῆτιν ὕφαινον
o20.24 νωλεμέως· ἀτὰρ αὐτὸς ἑλίσσετο ἔνθα καὶ ἔνθα
o20.25 ὡς δ' ὅτε γαστέρ' ἀνὴρ πολέος πυρὸς αἰθομένοιο
o20.26 ἐμπλείην κνίσης τε καὶ αἵματος, ἔνθα καὶ ἔνθα
o20.27 αἰόλλῃ, μάλα δ' ὦκα λιλαίεται ὀπτηθῆναι,
o20.28 ὣς ἄρ' ὅ γ' ἔνθα καὶ ἔνθα ἑλίσσετο μερμηρίζων.
i13.165 ἂψ δ' ἑτάρων εἰς ἔθνος ἐχάζετο, χώσατο δ' αἰνῶς.
o4.621@ δαιτυμόνες ⌜δ' ἀνὰ⌝ δώματα ἴσαν θείου βασιλῆος,
*o4.629* ἀρχοὶ μνηστήρων, ἀρετῇ δ' ἔσαν ἔξοχ' ἄριστοι.

*περὶ τῆς πρὸ τοῦ σταυροῦ μαστιγώσεως*

i8.1 ἠὼς μὲν κροκόπεπλος ἐκίδνατο πᾶσαν ἐπ' αἶαν
o10.409 * οἴκτρ' ὀλοφυρομένη, θαλερὸν κατὰ δάκρυ χέουσα.
i3.7 * ἠέριοι δ' ἄρα τοί γε κακὴν ἔριδα προφέροντο·
i2.473 ἐν πεδίῳ δ' ἵσταντο διαρραῖσαι μεμαῶτες.
o11.575 * χερσὶ δ' ἔχον ῥόπαλα παγχάλκεα, αἰὲν ἀαγῆ.
i16.259 αὐτίκα δὲ σφήκεσσιν ἐοικότες ἐξεχέοντο
i16.260 εἰνοδίοις, οὓς παῖδες ἐριδμαίνωσιν ἔθοντες,
i16.261@ αἰεὶ κερτομέοντες, ὁδῷ ἔπι οἰκί' ⌜ἔχοντες⌝,
i16.262 νηπίαχοι· ξυνὸν δὲ κακὸν πολέεσσι τιθεῖσι.
i17.741 ἀζηχὴς δ' ὀρυμαγδὸς ἐπήϊεν ἐρχομένοισιν.
i23.363 πέπληγόν θ' ἱμᾶσιν, ὁμόκλησάν τ' ἐπέεσσιν.

1798 ψαμάθοισι 1813 δ' ἐς 1822 ἔχοντας

οἱ δ' ἄρ ἴσαν, ὡς εἴ τε πυρὶ χθὼν πᾶσα νέμοιτο. i 2.780
εἰς ἔχετον βασιλῆα, βροτῶν δηλήμονα πάντων. *o 18.116*
ὃς δ' ἤ τοι τὸ πρὶν μὲν ἀναίνετο ἔργον ἀεικές· o 3.265 *
κτεῖναι μέν ῥ' ἀλέεινε, σεβάσσατο γὰρ τό γε ⸢μύθῳ⸣. *i 6.167†*
αὐτίκα κήρυκες μὲν ὕδωρ ἐπὶ χεῖρας ἔχευαν i 9.174
πρῶτον, ἔπειτα δ' ἔνιψ' ὕδατος καλῇσι ῥοῇσι. i 16.229
καί σφεας φωνήσας ἔπεα πτερόεντα προσηύδα· i 4.284
"ὦ φίλοι, οὐκ ἂν ἔγωγε κατακτείνειν ἐθέλοιμι. o 16.400
ἀργαλέος γάρ τ' ἐστὶ θεὸς βροτῷ ἀνδρὶ δαμῆναι, o 4.397
ὅς περ θνητὸς ⸢ἔῃ⸣ καὶ οὐ τόσα μήδεα οἶδε. i 18.363 *
ἀλλὰ τίη νῦν οὗτος ἀναίτιος ἄλγεα πάσχει, i 20.297
μὰψ ἕνεκ' ἀλλοτρίων ἀχέων, κεχαρισμένα δ' αἰεὶ i 20.298
δῶρα ⸢θεός γε⸣ δίδωσιν, ὃς οὐρανὸν εὐρὺν ἔχησι; i 20.299 *
μὴ ἀγαθῷ περ ἐόντι ⸢νεμεσσηθῶμέν⸣ οἱ ἡμεῖς, i 24.53 @
ἀλλ' ἀναχασσώμεσθα, ⸢θεοῦ⸣ δ' ἀλεώμεθα μῆνιν. i 7.264 * + 5.34†
οὐ γάρ πως πάντεσσι θεὸς φαίνοιτο ἐναργής." o 16.161 *
ὣς ἄρα φωνήσας ἀπεβήσατο, τὸν δὲ λίπ' αὐτοῦ, i 2.35
δῆμον ὑποδδείσας· δὴ γὰρ κεχολώατο λίην. o 16.425
δῆσε δ' ὀπίσσω χεῖρας ἐϋτμήτοισιν ἱμᾶσι. i 21.30
πεπλήγει δ' ἀγορῆθεν ἀεικέσσι πληγῇσιν. i 2.264 *
σμῶδιξ δ' αἱματόεσσα μεταφρένου ἐξυπανέστη. i 2.267
ἐς δ' ἦλθον δρηστῆρες ἀγήνορες· οἱ μὲν ἔπειτα o 20.160
κεκλόμενοι καθ' ὅμιλον ἐπ' αὐτῷ πάντες ἔβησαν, i 11.460
κάρτεΐ τε σθένεΐ τε πεποιθότες ἠνορέῃ τε i 17.329 *
πλήθεΐ τε σφετέρῳ, καὶ ὑπερδέα δῆμον ἔχοντες. i 17.330 *
οὐδ' ὄπιδα τρομέουσι θεοῦ· μεμάασι γὰρ ἤδη. o 20.215
οἱ δ' ἐπεὶ ἐκ πόλιος κατέβαν, τάχα δ' ἀγρὸν ἵκοντο o 24.205
τείχεος ⸢ἔκτοσθεν⸣, μέγα δέ σφισι φαίνετο ἔργον. i 12.416†

**1829** θυμῷ **1835** τ' ἔστι **1838** θεοῖσι **1839** νεμεσσηθέωμέν **1840** Διός **1853** ἔντοσθεν

*περὶ τῆς σταυρώσεως*

i23.327 ἔστηκε ξύλον αὖον ὅσον τ' ὄργυι' ὑπὲρ αἴης,
i23.328 ἢ δρυὸς ἢ πεύκης· τὸ μὲν οὐ καταπύθεται ὄμβρῳ.
i7.89 ἀνδρὸς μὲν τόδε σῆμα πάλαι κατατεθνηῶτος.
o9.324 τόσσον ἔην μῆκος, τόσσον πάχος εἰσοράασθαι.
*o22.175* * σειρὴν δὲ πλεκτὴν ἐξ αὐτοῦ πειρήναντες
i11.9 εἴρυσαν, ἠνορέῃ πίσυνοι καὶ κάρτεϊ χειρῶν,
o8.259 δήμιοι, οἳ κατ' ἀγῶνας ἐῢ πρήσσεσκον ἕκαστα
i8.177† νήπιοι, οἱ δ' ἄρα δὴ τάδε ⸢μήδεα⸣ μηχανόωντο.
o22.211† ⸢δρηστῆρες⸣ δ' ἑτέρωθεν ὁμόκλεον ἐν μεγάροισι.
i17.725 + 5.782† ἴθυσαν δὲ ⸢λύκοισιν⸣ ἐοικότες ὠμοφάγοισιν.
i3.197 ἀρνειῷ μιν ἔγωγε ἐΐσκω πηγεσιμάλλῳ,
i3.198 ὅς τ' οἰῶν μέγα πῶϋ διέρχεται ἀργεννάων
o9.432 ἀρνειὸς γὰρ ἔην μήλων ὄχ' ἄριστος ἁπάντων.
i2.588 ἐν δ' αὐτὸς κίεν ᾗσι προθυμίῃσι πεποιθώς.
o15.232@ δεσμῷ ⸢δ'⸣ ἀργαλέῳ δέδετο, κρατέρ' ἄλγεα πάσχων.
o22.189 + 477 σὺν δὲ πόδας χεῖράς τε δέον κεκοτηότι θυμῷ.
o18.89 * ἐς μέσσον δ' ἄναγον· τὼ δ' ἄμφω χεῖρας ἀνέσχον
o14.500 καρπαλίμως, ἀπὸ δὲ χλαῖναν θέτο φοινικόεσσαν.
i8.68 ἦμος δ' ἠέλιος μέσον οὐρανὸν ἀμφιβεβήκει,
i17.391 δεξάμενοι δ' ἄρα τοί γε διαστάντες τανύουσι
o14.11† ⸢σταυροῖσιν πυκινοῖσι⸣ διαμπερὲς ἔνθα καὶ ἔνθα
i22.510 * γυμνόν, ἀτάρ τοι εἵματ' ἐνὶ μεγάροισι κέοντο,
o12.179@ ὀρθὸν ἐν ἱστοπέδῃ· ἐκ δ' αὐτοῦ πείρατ' ⸢ἀνῆψαν⸣
i17.723 ὕψι μάλα μεγάλως· ἐπὶ δ' ἴαχε λαὸς ὄπισθε.
o22.200@ ὣς ὁ μὲν αὖθι λέλειπτο, ταθεὶς ὀλοῷ ⸢ὑπὸ⸣ δεσμῷ
i5.769 μεσσηγὺς γαίης τε καὶ οὐρανοῦ ἀστερόεντος,
*o18.367* ὥρῃ ἐν εἰαρινῇ, ὅτε τ' ἤματα μακρὰ πέλονται·
o22.177 ὥς κεν δηθὰ ζωὸς ἐὼν χαλέπ' ἄλγεα πάσχῃ.

**1861** τείχεα **1862** μνηστῆρες **1863** κύνεσσιν **1868** ἐν **1874** σταυροὺς δ' ἐκτὸς ἔλασσε **1876** ἀνῆπτον **1878** ἐνὶ

οὐδέ τι κινῆσαι μελέων ἦν οὐδ᾽ ἀναεῖραι, o8.298
οὔτε στηρίξαι ποσὶν ἔμπεδον οὔτ᾽ ἐπιβῆναι. o12.434
ἰδνώθη δ᾽ ὀπίσω· ὁ δ᾽ ἀπὸ χθονὸς ὑψόσ᾽ ἀερθείς. o8.375 *
καὶ τότε δὴ γίνωσκον ὅ τ᾽ οὐκέτι φυκτὰ πέλοντο. o8.299
οἱ δ᾽ ἐπελώβευον καὶ ἐκερτόμεον ἐπέεσσιν. o2.323
αὐτὰρ ὁ θυμὸν ἔχων ὃν καρτερόν, ὡς τὸ πάρος περ, i5.806
τρὶς μὲν ἔπειτ᾽ ἤϋσεν ὅσον κεφαλὴ χάδε φωτός. i11.462
στεῦτο δὲ διψάων, πιέειν δ᾽ οὐκ ⌜ἤθελ⌝⁾ ἑλέσθαι· o11.584 †
χείλεα μέν τε δίην᾽, ὑπερῴην δ᾽ οὐκ ἐδίηνεν. i22.495
ὧδε δὲ τις εἴπεσκε νέων ὑπερηνορεόντων, o2.324
"νήπιός εἰς, ὦ ξεῖνε, λίην τόσον ⌜ἠὲ⌝ χαλίφρων, o4.371 @
ἠὲ ἑκὼν μεθιεῖς, καὶ τέρπεαι ἄλγεα πάσχων; o4.372
εἰ μὲν δὴ θεός ἐσσι, θεοῖό τε ἔκλυες αὐδῆς, o4.831
καί πού τις δοκέεις μέγας ἔμμεναι ἠδὲ κραταιός, o18.382
οὕνεκα πὰρ παύροισι καὶ οὐκ ἀγαθοῖσιν ὁμιλεῖς. o18.383
ἀλλὰ σὺ πέρ μοι εἰπέ, θεὸς δὲ ⌜τὰ⌝ πάντα ἴσησιν. *o4.468* * †
ἔρξον ὅ περ δή τοι νόος ὀτρύνει καὶ ἀνώγει. cf. i15.148
καὶ σύ, φίλος, μάλα γάρ σ᾽ ὁρόω καλόν τε μέγαν τε, o3.199
ἄλκιμος ἔσσ᾽, ἵνα τίς σε καὶ ὀψιγόνων εὖ εἴπῃ. o3.200
⌜εἶξόν γ⌝⁾ ὅππῃ σε κραδίη θυμός τε κελεύει. o15.339 †
αὐτὸν μέν σε πρῶτα σάω, καὶ φράζεο θυμῷ o17.595
εἰ ἐτεὸν δὴ πάντα τελευτήσεις ὅσ᾽ ὑπέστης. i13.375
ἀλλ᾽ ἄγε νῦν κατάβηθι καὶ ἂψ ἔρχευ μέγαρόνδε· o23.20
⌜οἵδε⌝ τοι ἐκτελέσουσιν ὑπόσχεσιν ἥν περ ὑπέσταν. i2.286 †
καί κέ τοι ἡμεῖς ταῦτά γ᾽ ὑποσχόμενοι τελέσαιμεν. i13.377
ἤτοι μὲν γὰρ νῶϊ πολέας ὠμόσσαμεν ὅρκους. i20.313
ξεῖν᾽ οὕτω γάρ κέν τοι ἐϋκλείν τ᾽ ἀρετή τε o14.402 *
εἴη ἐπ᾽ ἀνθρώπους ἅμα τ᾽ αὐτίκα καὶ μετέπαιτα. 014.403
ὢ πόποι ἦ ῥ᾽ ἀγαθός περ ἐὼν ὑπέροπλον ἔειπες." i15.185

**1889** εἶχεν **1892** ἠδὲ **1897** τε **1901** πέμψει δ᾽ **1905** οὐδέ

*περὶ τοῦ ἑκατοντάρχου*

*i7.201* ὧδε δέ τις εἴπεσκεν ἰδὼν εἰς οὐρανὸν εὐρύν,
o4.157 * "κείνου μέν τοι ὅδ' υἱὸς ἐτήτυμος, ὡς ἀγορεύει.
o4.206 * τοίου γὰρ καὶ πατρός, ὃ καὶ πεπνυμένα βάζει.
o4.158 ἀλλὰ σαόφρων ἐστί, νεμεσσᾶται δ' ἐνὶ θυμῷ.
o20.23 τῷ δὲ μάλ' ἐν πείσῃ κραδίη μένε τετληυῖα."
o22.355 αἶψα δ' ἑὸν πατέρα προσεφώνεεν ἐγγὺς ἐόντα,
o19.36 "ὦ πάτερ, ἦ μέγα θαῦμα τόδ' ὀφθαλμοῖσιν ὁρῶμαι.
cf. o22.367 + 368 ἴσχεο, μηδὲ περισθενέων δηλήσεο τούσδε,
o22.463 * τάων, οἳ δὴ ἐμῇ κεφαλῇ κατ' ὀνείδεα χεῦαν·
o22.418 * @ οἵ τέ μ' ἀτιμάζουσι καὶ οἳ ⸢νηλιτεῖς⸣ εἰσι.
o3.207 * οἵ τ' ἐμὲ ὑβρίζοντες ἀτάσθαλα μηχανόωνται·
o14.506 νῦν δέ μ' ἀτιμάζωσι κακὰ χροῒ εἵματ' ἔχοντα.
*o5.18* νῦν αὖ παῖδ' ἀγαπητὸν ἀποκτεῖναι μεμάασιν.
i8.242 ἀλλὰ ⸢πάτερ⸣, τόδε πέρ μοι ἐπικρήηνον ἐέλδωρ,
i8.243 αὐτοὺς δή περ ἔασον ὑπεκφυγέειν καὶ ἀλύξαι.
cf. o23.31 ἴσχεο, μηδὲ βίην τίσαις ὑπερηνορεόντων
o22.369† ἀνδρῶν δρηστήρων κεχολωμένος, οἵ ⸢με ἔτισαν⸣.
i13.622 ἄλλης μὲν λώβης τε καὶ αἴσχεος οὐκ ἐπιδευεῖς.
o13.40 * ἤδη γὰρ τετέλεστο ἅ μοι φίλος ἤθελε θυμός."
i22.361 ὣς ἄρα μιν εἰπόντα τέλος θανάτοιο κάλυψε.
i22.362 ψυχὴ δ' ἐκ ῥεθέων πταμένη Ἄϊδος δὲ βεβήκει,
i8.14 τῆλε μάλ', ἧχι βάθιστον ὑπὸ χθονός ἐστι βάραθρον,
o11.567 τῶν ἄλλων ψυχὰς ἰδέειν κατατεθνηώτων.
i8.15 ἔνθα σιδήρειαί τε πύλαι καὶ χάλκεος οὐδός,
i13.124 καρτερός· ἔρρηξεν δὲ πύλας καὶ μακρὸν ὀχῆα.
i16.641 οἱ δ' αἰεὶ περὶ νεκρὸν ὁμίλεον, ὡς ὅτε μυῖαι
i16.642@ σταθμῷ ⸢ἔπι⸣ βρομέωσι περιγλαγέας κατὰ πέλλας
i16.643 ὥρῃ ἐν εἰαρινῇ, ὅτε γλάγος ἄγγεα δεύει.

1920 νήλιτιδες 1924 Ζεῦ 1927 μνηστήρων ... οἵ ἔκειρον
1932 βέρεθρον 1937 ἔνι

ἄλλος δ' αὖτ' εἴπεσκε νέων ὑπερηνορεόντων, o21.401
"ὤ μοι, ξεῖνε, τίη τοι ἐνὶ φρεσὶ τοῦτο νόημα o15.326
ἔπλετο; ἦ σύ γε πάγχυ λιλαίεαι αὐτόθ' ὀλέσθαι, o15.327
εἰπέ μοι ἠὲ ἑκὼν ὑποδάμνασαι ἦ σέ γε λαοὶ o3.214
ἐχθαίρουσ' ἀνὰ δῆμον, ἐπισπόμενοι ⌜μένεϊ σφῷ⌝, o3.215†
τίς δ' οἶδ' εἴ κέ ποτέ σφι βίας ⌜ἀποτίσεαι⌝ ἐλθών. o 3.216@
εἰπέ μοι εἰρομένῳ νημερτέα μηδ' ἐπικεύσῃς· o15.263
εἰ μὲν δὴ θεός ἐσσι, θεοῖό τε ἔκλυες αὐδῆς, o4.831
εἰ δή τοι σοῦ πατρὸς ἐνέστακται μένος ἠΰ, o2.271
οἷος ἐκεῖνος ἔην τελέσαι ἔργον τε ἔπος τε. o2.272
ἀλλ' ἄγε νῦν κατάβηθι καὶ ἂψ ἔρχευ μέγαρόνδε. o23.20
⌜σῶσον⌝ νῦν, ἵνα πάντες ἐπιγνώωσι καὶ οἵδε, o18.30†
⌜εἴ⌝ κεν ἐμῷ ὑπὸ δουρὶ τυπεὶς ἀπὸ θυμὸν ὀλέσσῃς. i11.433†
ἀλλ' ἄγε δὴ καὶ δουρὸς ἀκωκῆς ἡμετέροιο i 21.60
γεύσεο· ὄφρα ἴδωμαι ἐνὶ φρεσὶ ἠδὲ δαείω, i21.61 *
ἤ γ' ἄρ ὁμῶς καὶ κεῖθεν ἐλεύσεαι ἦ σέ κ' ἐρύξει i21.62 *
γῆ φυσίζοος, ἥ τε κατὰ κρατερόν περ ἐρύκει." i21.63
ὣς ἄρα τις εἴπεσκε καὶ οὐτήσασκε παραστάς· i22.375
πάντα δ' ἀπὸ πλευρᾶς χρόα ἔργαθεν, οὐδ' ἔτ' ἔασε. i11.437 *
τῇ ῥά μιν οὖτα τυχών, διὰ δὲ χρόα καλὸν ἔδαψεν. i5.858
⌜εἶθαρ⌝ δ' ἄμβροτον αἷμα κατέρρεεν ἐξ ὠτειλῆς, i5.870†
νηπενθές τ' ἄχολόν τε, κακῶν τ' ἐπίληθον ἁπάντων. o 4.221
τοῦτό νυ καὶ γέρας οἶον ὀϊζυροῖσι βροτοῖσι. o4.197
οὔ ποτέ τοι θάνατον προτιόσσετο θυμὸς ἀγήνωρ, o14.219 *
ὃς τὸ καταβρόξειεν, ἐπὴν κρητῆρι μιγείη, o4.222
⌜οὐκ ἂν⌝ ἐφημέριός γε βάλοι κατὰ δάκρυ παρειῶν, o4.223†
οὐδ' εἴ οἱ κατατεθναίη μήτηρ τε πατήρ τε, o4.224
ἠὲ κασίγνητος ὁμογάστριος ἠὲ καὶ υἱός. i24.47 *
τοῖσιν δ' αὐτίκ' ἔπειτα θεὸς ⌜τέρατα⌝ προύφαινε, o12.394 * @
σμερδαλέα κτυπέων· τοὺς δὲ χλωρὸν δέος ᾕρει. i7.479

**1943** θεοῦ ὀμφῇ **1944** ἀποτίσεται **1950** ζῶσαι **1951** ἤ
**1959** δαῖξεν **1964** οὔ κεν **1967** τέραα

o20.103 + 113 αὐτίκα δ' ἐβρόντησεν ἀπ' οὐρανοῦ ἀστεροέντος.
i8.133 βροντήσας δ' ἄρα δεινὸν ἀφῆκ' ἀργῆτα κεραυνόν.
i17.595 ἀστράψας δὲ μάλα μεγάλ' ἔκτυπε, τὴν δὲ τίναξε
i20.58 γαῖαν ἀπειρεσίην ὀρέων τ' αἰπεινὰ κάρηνα.
i21.388† ἀμφὶ δὲ σάλπιγξεν μέγας οὐρανός, ἄϊε δὲ ⌜χθών⌝.
o5.295 σὺν δ' Εὖρός τε Νότος τ' ἔπεσον Ζέφυρός τε δυσαὴς
o5.296 καὶ Βορέης αἰθρηγενέτης, μέγα κῦμα κυλίνδων
o12.314 λαίλαπι θεσπεσίῃ, σὺν δὲ νεφέεσσι κάλυψε
o5.294 γαῖαν ὁμοῦ καὶ πόντον· ὀρώρει δ' οὐρανόθεν νύξ
cf. o24.49 * θεσπεσίη. ἐπὶ δ' αὖ δεινὸς τρόμος ἔλλαβε πάντας.
i7.177 * λαοὶ δ' ἠρήσαντο ⌜θεῷ ἰδὲ⌝ χεῖρας ἀνέσχον.
i20.59 πάντες δ' ἐσσείοντο πόδες πολυπίδακος Ἴδης,
i1.157 οὔρεά τε σκιόεντα θάλασσά τε ἠχήεσσα,
i3.278 * καὶ ποταμοὶ καὶ γαῖα καὶ οἱ ὑπένερθε καμόντες
i13.28 * πάντοθεν ἐκ κευθμῶν, οὐδ' ἠγνοίησαν ἄνακτα
o24.163 * βαλλόμενον καὶ ἐνισσόμενον τετληότι θυμῷ.
i20.61 ἔδδεισεν δ' ὑπένερθεν ἄναξ ἐνέρων Ἀϊδωνεύς,
i20.62† δείσας δ' ἐκ θρόνου ἆλτο καὶ ἴαχε ⌜μάλα λιγείως⌝·
i24.446† "⌜ὤ μοι⌝·" ἄφαρ δ' ὤϊξε ⌜θύρας⌝ καὶ ἀπῶσεν ὀχῆας.
o9.51 ἦλθον ἔπειθ' ὅσα φύλλα καὶ ἄνθεα γίνεται ὥρῃ
o11.37 @ ψυχαὶ ὑπὲξ ⌜Ἐρέβους⌝ νεκύων κατατεθνηώτων,
o11.388 * @ ἀχνύμεναι· περὶ δ' αὐτὸν ἀγηγέραθ' ὅσσαι ⌜ἄρισται⌝.
i8.227† ἤϋσεν δὲ διαπρύσιον ⌜νεκύεσσι⌝ γεγωνώς,
o6.261 "καρπαλίμως ἔρχεσθε· ἐγὼ δ' ὁδὸν ἡγεμονεύσω·
o6.293 ἔνθα δὲ πατρὸς ἐμοῦ τέμενος τεθαλυῖά τ' ἀλωή."
i13.833 ὣς ἄρα φωνήσας ἡγήσατο· τοὶ δ' ἅμ' ἕποντο.
o13.167 ὧδε δέ τις εἴπεσκεν ἰδὼν ἐς πλησίον ἄλλον,
o4.663 "ὢ φίλοι, ἦ μέγα ἔργον ὑπερφιάλως ἐτελέσθη.
o20.103 + 113 ἦ μεγάλ' ἐβρόντησεν ἀπ' οὐρανοῦ ἀστερόεντος

**1973** Ζεύς **1979** θεοῖσι **1986** μή οἱ ὑπέρθε **1987** πᾶσιν ... θύρας **1989** Ἐρέβευς **1990** ἅμ' αὐτῷ **1991** Δαναοῖσι **1996** ὢ πόποι

ὃς πᾶσι θνητοῖσι καὶ ἀθανάτοισιν ἀνάσσει, i12.242
ὄφρ' ἀνδρῶν τίσαιτο ⌜βίας⌝ ὑπερηνορεόντων, o23.31 @
λώβην τινύμενος θυμαλγέα καὶ κακὰ ἔργα. o24.326
εἵνεκα ⌜δὴ⌝ ξείνοιο τάδ' αἰδοίοιο τέτυκται." o8.544 †
ἐν δ' ἔπεσ' Ὠκεανῷ λαμπρὸν φάος ἠελίοιο, i8.485
ἕλκον νύκτα μέλαιναν ἐπὶ ζείδωρον ἄρουραν, i8.486
ἠέλιός θ' ὃς πάντ' ἐφορᾷ καὶ πάντ' ἐπακούει, i3.277 *
οὗ τε καὶ ὀξύτατον πέλεται φάος εἰσοράασθαι, i14.345
οὐρανοῦ ἐξαπόλωλε, κακὴ δ' ἐπιδέδρομεν ἀχλύς. o20.357
ἔνθά κε λοιγὸς ἔην καὶ ἀμήχανα ἔργα γένοντο. i8.130

*περὶ τοῦ πνιγμοῦ τοῦ Ἰούδα*

ἀλλ' ἦ τοι κεῖνος μὲν ἐπισμυγερῶς ἀπέτισεν, o3.195
ὃς μέγα ἔργον ἔρεξεν ἀτασθαλίῃσιν ⌜ἑῇσιν⌝, o24.458 * @
ἁψάμενος βρόχον αἰπὺν ἀφ' ὑψηλοῖο μελάθρου o11.278 *
νήπιος, οὐδέ τί οἱ τό γε ἐπήρκεσε λυγρὸν ὄλεθρον i2.873
⌜ὃς⌝ ἀπόλοιτο καὶ ἄλλος ὅτις τοιαῦτά γε ῥέζοι. o1.47 †
τοίην γὰρ κεφαλὴν ἕνεκ' αὐτοῦ γαῖα κατέσχεν. o11.549 *
⌜πάντας⌝ δὲ τρόμος αἰνὸς ὑπήλυθε γυῖα ἑκάστου. i20.44 †
νεκρὸν δὲ προλιπόντες ἐπέτρεσαν ⌜ἄλλυδις ἄλλος⌝. i17.275 †
πρὸς δὲ πόλιν τρωπῶντο λιλαιόμενοι βιότοιο. o24.536
πᾶσαι δ' ὠΐγνυντο πύλαι, ⌜ἐς⌝ δ' ἔσσυτο λαὸς, i2.809 †
πεζοί θ' ἱππῆές τε· πολὺς δ' ὀρυμαγδὸς ὀρώρει. i2.810
οἱ δ' ἐφέβοντο κατὰ μέγαρα, ⌜ὡς βοῦς⌝ ἀγελαῖαι. o22.299 †
τόφρ' ἄλλοι ⌜πάντες⌝ πεφοβημένοι ἦλθον ὁμίλῳ i21.606 †
ἀσπάσιοι προτὶ ἄστυ, πόλις δ' ἔμπλητο ἀλέντων. i21.607
καὶ τότε δή ⌜ῥ' ἔσχοντο⌝ βίης λῦσαί τε ⌜κέλευον⌝, o4.422 * †
νήπιοι ἀγροιῶται, ἐφημέρια φρονέοντες, o21.85

**1999** βίην **2001** γὰρ **2009** κακῇσι **2012** ὡς **2014** Τρῶας **2015** οὐδέ τιν' αὐτῶν **2017** ἐκ **2019** βόες ὣς **2020** Τρῶες **2022** σχέσθαι τε ... γέροντα

o11.272 * οἳ μέγα ἔργον ἔρεξαν ἀϊδρείῃσι νόοιο.
o22.29 * καὶ γὰρ δὴ νῦν φῶτα κατέκτανον, ὃς μέγ' ἄριστος.
o22.33 ὡς δή σφιν καὶ πᾶσιν ὀλέθρου πείρατ' ἐφῆπτο.
o2.258 οἱ μὲν ἄρ' ἐσκίδναντο ἑὰ πρὸς δώμαθ' ἕκαστος,
i7.151 οἱ δὲ μάλ' ἐτρόμεον καὶ ἐδείδισαν, οὐδέ τις ἔτλη.
o22.270† ⸢δρηστῆρες⸣ δ' ἀνεχώρησαν μεγάροιο μυχόνδε.

*περὶ τοῦ ἐπιταφίου θρήνου*

i8.332† ⸢τὸν δ' ἄρ⸣ ἔπειθ' ὑποδύντε δύω ἐρίηρες ἑταῖροι
i18.233 κάτθεσαν ἐν λεχέεσσι· φίλοι δ' ἀμφέσταν ἑταῖροι
i24.794 μυρόμενοι, θαλερὸν δὲ κατείβετο δάκρυ παρειῶν.
i24.588 ἀμφὶ δέ μιν φᾶρος καλὸν βάλον ἠδὲ χιτῶνα.
i18.352 ἐν λεχέεσσι δὲ θέντες ἑανῷ λιτὶ κάλυψαν
i18.353 ἐς πόδας ἐκ κεφαλῆς, καθύπερθε δὲ φάρεϊ λευκῷ.
i18.351 ἐν δ' ὠτειλὰς πλῆσαν ἀλείφατος ἐννεώροιο.
i24.414 * † ⸢ἀλλὰ γὰρ⸣ οὐδέ τί οἱ χρὼς σήπετο, οὐδέ μιν εὐλαὶ
i24.415 ἔσθουσ', αἵ ῥά τε φῶτας ἀρηϊφάτους κατέδουσιν.
i19.33 * αἰεὶ τῷδ' ἔσται χρὼς ἔμπεδον, ἢ καὶ ἄρειον.
o23.325 * μήτηρ δ', ἥ μιν ἔτικτε καὶ ἔτρεφε τυτθὸν ἐόντα,
i19.284 ἀμφ' αὐτῷ χυμένη λίγ' ἐκώκυε, χερσὶ δ' ἄμυσσε
i19.285 στήθεά τ' ἠδ' ἁπαλὴν δειρὴν ἰδὲ καλὰ πρόσωπα.
o15.355 * ἐκπάγλως γὰρ παιδὸς ὀδύρετο οἰχομένοιο.
i18.71 ὀξὺ δὲ κωκύσασα κάρη λάβε παιδὸς ἑοῖο.
i1.529 ἀμβρόσιαι δ' ἄρα χαῖται ἐπερρώσαντο ἄνακτος.
i22.466 τὴν δὲ κατ' ὀφθαλμῶν ἐρεβεννὴ νὺξ ἐκάλυψεν.
o5.458@ ἀλλ' ὅτε δή ῥ' ⸢ἄμπνυτο⸣ καὶ ἐς φρένα θυμὸς ἀγέρθη,
i18.72 καί ῥ' ὀλοφυρομένη ἔπεα πτερόεντα προσηύδα·
o11.155 "τέκνον ἐμόν, πῶς ἦλθες ὑπὸ ζόφον ἠερόεντα
o11.156 * ζωὸς ἐών; χαλεπὸν δὲ τόδε ζωοῖσιν ὁρᾶσθαι.

2029 μνηστῆρες 2030 τὸν μὲν 2037 κειμένῳ 2047 ἔμπνυτο

ὤ μοι, τέκνον ἐμόν, περὶ πάντων κάμμορε φωτῶν, o 11.216
πῶς ἂν ἔπειτ’ ἀπὸ σεῖο, φίλον τέκος, αὖθι λιποίμην; i 9.437
πῇ γὰρ ἐγώ, φίλε τέκνον, ἴω; τεῦ δώμαθ’ ἵκωμαι; o 15.509
πῶς ἔτλης Ἀϊδόσδε κατελθέμεν, ἔνθά τε νεκροί;” o 11.475
ἀμφὶ δὲ παιδὶ φίλῳ βάλε πήχεε ⸢δάκρυ χέουσα⸣· o 17.38†
κύσσε δέ μιν κεφαλήν τε καὶ ἄμφω φάεα καλὰ o 17.39
χεῖράς τ’ ἀμφοτέρας· θαλερὸν δέ οἱ ἔκπεσε δάκρυ. o 16.16
“⸢τέκνον⸣, ἐμοί γε μάλιστα λελείψεται ἄλγεα λυγρά. i 24.742†
οὐ γάρ μοι θνῄσκων λεχέων ἐκ χεῖρας ὄρεξας. i 24.743
οὐδέ τί μοι εἶπες πυκινὸν ἔπος, οὗ τέ κεν αἰεὶ i 24.744
μεμνήμην νύκτάς τε καὶ ἤματα δάκρυ χέουσα. i 24.745
ἀλλά με σός τε πόθος σά τε μήδεα, ⸢φαίδιμε υἱέ⸣, o 11.202†
σή τ’ ἀγανοφροσύνη μελιηδέα θυμὸν ἀπηύρα. o 11.203
τώ σ’ ἄμοτον κλαίω τεθνηότα, μείλιχον αἰεί. i 19.300
νῦν δὲ σὺ μέν ⸢ῥ’⸣ Ἀΐδαο δόμους ὑπὸ κεύθεσι γαίης i 22.482@
ἔρχεαι, αὐτὰρ ἐμὲ στυγερῷ ἐνὶ πένθεϊ λείπεις.” i 22.483
ὣς ἔφατο κλαίουσ’, ἐπὶ δ’ ἔστενε δῆμος ἀπείρων. i 24.776
⸢οὐδὲ γὰρ⸣ οὐδέ τις αὐτόθ’ ἐνὶ πτόλεϊ λίπετ’ ἀνὴρ i 24.707†
οὐδὲ γυνή· πάντας γὰρ ἀάσχετον ἵκετο πένθος. i 24.708
⸢αἶψα⸣ τοῖσι δὲ πᾶσιν ὑφ’ ἵμερον ὦρσε γόοιο. i 23.108†
καί νύ κ’ ὀδυρομένοισιν ἔδυ φάος ἠελίοιο. o 16.220
ἡ δ’ ἐπεὶ οὖν τάρφθη πολυδακρύτοιο γόοιο, o 21.57
βῆ ῥ’ ἴμεναι μέγαρόνδε μετὰ μνηστῆρας ἀγαυούς. o 21.58

*περὶ τῆς ταφῆς*

τορνώσαντο δὲ σῆμα θεμείλιά τε προβάλοντο. i 23.255
ἀγκὰς δ’ ἀλλήλων λαβέτην χερσὶ στιβαρῇσιν. i 23.711
οἱ δ’ ὥς θ’ ἡμίονοι κρατερὸν μένος ἀμφιβαλόντες i 17.742
ἕλκωσ’ ἐξ ὄρεος κατὰ παιπαλόεσσαν ἀταρπὸν i 17.743

2055 δακρύσασα 2058 Ἕκτορ ... δὲ 2062 φαίδιμ’ Ὀδυσσεῦ 2065 ῥ’ om. Hom 2068 ὣς ἔφατ’ 2070 ὣς φάτο

i17.744 ἢ δοκὸν ἠὲ δόρυ μέγα νήϊον· ἐν δέ τε θυμὸς
i17.745 τείρεθ' ὁμοῦ καμάτῳ τε καὶ ἱδρῷ σπευδόντεσσιν·
i17.746† ὣς οἵ γ' ἐμμεμαῶτε νέκυν φέρον. αὐτὰρ ⌜ὕπερθεν⌝
cf. o9.240 χερσὶ μέγαν λίθον ἀείραντές τε προσέθηκαν,
o9.241 ὄμβριμον. οὐκ ἂν τόν γε δύω καὶ εἴκοσ' ἅμαξαι
o9.242 ἐσθλαὶ τετράκυκλοι ἀπ' οὔδεος ὀχλίσσειαν.
i9.80 ἐκ δὲ φυλακτῆρες σὺν τεύχεσιν ἐσσεύοντο,
i8.522 μὴ λόχος εἰσέλθῃσι πόλιν λαῶν ἀπεόντων.
o2.324 ὧδε δέ τις εἴπεσκε νέων ὑπερηνορεόντων·
i24.71†* "⌜μὴ δή τι⌝ κλέψαι μὲν ἐάσετε, οὐδέ πῃ ἔστι
i24.436*† συλεύειν, μή ⌜πώς⌝ τι κακὸν μετόπισθε γένοιτο."
i9.85 ἕπτ' ἔσαν ἡγεμόνες φυλάκων, ἑκατὸν δὲ ἑκάστῳ
i9.86 κοῦροι ἅμα στεῖχον δολίχ' ἔγχεα χερσὶν ἔχοντες
i20.156 τῶν δ' ἅπαν ἐπλήσθη πεδίον καὶ λάμπετο χαλκῷ
i10.100*† δυσμενέες τ' ἄνδρες σχεδὸν εἵατο ⌜ἐν φυλάκεσσιν⌝.
o14.20 οἱ δὲ τριηκόσιοί τε καὶ ἑξήκοντα πέλοντο.
o16.344 αὐτοῦ δὲ προπάροιθε θυράων ἑδριόωντο.
i20.153 ὣς οἱ μέν ῥ' ἑκάτερθε καθείατο μητιόωντες.
i24.565 οὐ γάρ κεν τλαίη βροτὸς ἐλθέμεν, οὐδὲ μάλ' ἡβῶν,
i24.566@ ἐς στρατόν· οὐδὲ γὰρ ἂν ⌜φύλακας⌝ λάθοι, οὐδέ κ' ὀχῆα
i24.567 ῥεῖα μετοχλίσσειε θυράων ἡμετεράων.
o4.621@ δαιτυμόνες ⌜δ' ἀνὰ⌝ δώματ' ἴσαν θείου βασιλῆος
*o4.629* ἀρχοὶ μνηστήρων, ἀρετῇ δ' ἔσαν ἔξοχ' ἄριστοι.
o10.567 ἑζόμενοι δὲ κατ' αὖθι γόων τίλλοντό τε χαίτας
i17.437 οὔδει ἐνισκίμψαντε καρήατα· δάκρυα δέ σφι
i17.438 θερμὰ κατὰ βλεφάρων χανάδις ῥέε μυρομένοισιν.
i20.61 ἔδδεισεν δ' ὑπένερθεν ἄναξ ἐνέρων Ἀϊδωνεύς.
i3.35 ἂψ δ' ἀνεχώρησεν ὦχρός τέ μιν εἷλε παρειάς.
i17.695 δὴν δέ μιν ἀμφασίη ἐπέων λάβε, τὼ δέ οἱ ὄσσε
i17.696 δακρυόφιν πλῆσθεν, θαλερὴ δέ οἱ ἔσχετο φωνή.

**2081** ὄπισθεν **2088** ἀλλ' ἦ τοι **2089** μοι **2093** οὐδέ τι ἴδμεν **2098** φυλάκους **2100** ἐς

ταρβήσας δ' ἑτέρωσε βάλ' ὄμματα, μὴ θεὸς εἴη. o16.179
⌜ἀλλ' ὅτε δή⌝ ῥ' ⌜ἄμπνυτο⌝, καὶ ἐς φρένα θυμὸς ἀγέρθη, o24.349†@
⌜καὶ τότε δὴ⌝ μύθοισιν ἀμειβόμενος προσέειπε· o24.350†
"γουνοῦμαί σε, ⌜ἄναξ⌝· θεὸς ⌜δέ κεν⌝ ἦ βροτός ἐσσι; o6.149 * †
νημερτὲς μὲν δή μοι ὑπόσχεο καὶ κατάνευσον i1.514
ἢ ἀπόειπ', ἐπεὶ οὔ τοι ἔπι δέος, ὄφρ' ἐῢ εἰδῶ. i1.515
εἰ μέν ⌜τοι⌝ θεός, ὃς οὐρανὸν εὐρὺν ἔχῃσι, o6.150@ *
τρισμάκαρες μὲν σοί γε πατὴρ καὶ πότνια μήτηρ· o6.154
εἰ δέ τίς ἐσσι βροτῶν, οἳ ἀρούρης καρπὸν ἔδουσιν, i6.142
λίσσομ' ὑπὲρ ψυχῆς καὶ γούνων σῶν τε τοκήων, i22.338
μή μ' ἀπογυιώσῃς μένεος, ἀλκῆς τε λάθωμαι. i6.265
κρείσσων εἰς ἐμέθεν καὶ φέρτερος οὐκ ὀλίγον περ. i19.217
νῦν δ' ἐμὲ μὲν μέγα κῦδος ἀφείλεο, τοὺς δὲ σάωσας i22.18
ῥηϊδίως, ἐπεὶ οὔ τι τίσιν γ' ἔδδεισας ὀπίσσω, i22.19
ἦ σ' ἂν τεισαίμην, εἴ μοι δύναμίς γε παρείη. i22.20
οὐ γὰρ ἔτ' ἀνσχετὰ ἔργα τετεύχαται, οὐδ' ἔτι καλῶς o2.63
οἶκος ἐμὸς διόλωλε· νεμεσσήθητε καὶ αὐτοί, o2.64
ἄλλους τ' αἰδέσθητε περικτίονας ἀνθρώπους. o2.65
ὣς σὺ μὲν οὐδὲ θανὼν ὄνομ' ὤλεσας, ἀλλά τοι αἰεὶ o24.93
πάντας ἐπ' ἀνθρώπους ⌜μάλα δὴ⌝ κλέος ἔσσεται ἐσθλόν. o24.94†
⌜ζώγρει⌝· ἐγὼ δέ κέ τοι ἰδέω χάριν ἤματα πάντα. i14.235†
βουλοίμην κ' ἐπάρουρος ἐὼν θητευέμεν ἄλλῳ, o11.489
ὅς ⌜κε⌝ θνητὸς ⌜ἔῃ⌝ καὶ οὐ τόσα μήδεα οἶδε, i18.363† *
ἢ πᾶσιν νεκύεσσι καταφθιμένοισιν ἀνάσσειν o11.491
βουλοίμην ἤ σοί γε, διοτρεφές, ἤματα πάντα, i23.594
οὗ περ καὶ μείζων ἀρετὴ τιμή τε βίη τε, i9.498
ἐκ θυμοῦ πεσέειν καὶ δαίμοσιν εἶναι ἀλιτρός." i23.595
ὣς ἄρα μιν προσέειπεν ἄναξ ἐνέρων Ἀϊδωνεὺς cf. i20.61
λισσόμενος ἐπέεσσιν, ἀμείλικτον δ' ὄπ' ἄκουσε. i21.98

**2110** αὐτὰρ ἐπεὶ ... ἔμπνυτο **2111** ἐξαῦτις **2112** ἄνασσα ... νύ τις **2115** τις **2128** μάλα δὴ κλεος ... Steph : ... ἐσθλόν Ἀχιλλεῦ Hom : ἐσθλὸν] Ἀχιλλεῦ **2129** πείθευ **2131** περ ... τ' ἐστι

i9.309 “χρὴ μὲν δὴ τὸν μῦθον ἀπηλεγέω᾽ ἀποειπεῖν,
i9.310 ᾗ περ δὴ φρονέω τε καὶ ὡς τετελεσμένον ἔσται,
*i22.179* ἄνδρα θνητὸν ἐόντα, πάλαι πεπρωμένον αἴσῃ,
i23.261 + 22.63 ἠδὲ γυναῖκας ἐϋζώνους καὶ νήπια τέκνα
i16.442† ἂψ ἐθέλω θανάτοιο ⸢δυσαλγέος⸣ ἐξαναλῦσαι.
i20.196 βάλλεαι. ἀλλά σ᾽ ἔγωγ᾽ ἀναχωρήσαντα κελεύω
i20.197 ἐς πληθὺν ἰέναι, μηδ᾽ ἀντίος ἵστασ᾽ ἐμεῖο.
i1.562 πρῆξαι δ᾽ ἔμπης οὔ τι δυνήσεαι, ἀλλ᾽ ἀπὸ θυμοῦ
i1.563 μᾶλλον ἐμοὶ ἔσεαι· τὸ δέ τοι καὶ ῥίγιον ἔσται.”
i20.340 ὣς εἰπὼν λίπεν αὐτόθ᾽ ἐπεὶ διεπέφραδε πάντα
i6.137 δειδιότα· κρατερὸς γὰρ ἔχε τρόμος ἀνδρὸς ὁμοκλῇ.

*περὶ τῆς ἀναστάσεως*

*o5.390* ἀλλ᾽ ὅτε δὴ τρίτον ἦμαρ ἐϋπλόκαμος τέλεσ᾽ Ἠώς,
i7.433 ἦμος δ᾽ οὔτ᾽ ἄρ πω ἠώς, ἔτι δ᾽ ἀμφιλύκη νύξ,
i4.152 ἄψορρόν οἱ θυμὸς ἐνὶ στήθεσσι ἀγέρθη.
i2.41 ἔγρετο δ᾽ ἐξ ὕπνου, θείη δέ μιν ἀμφέχυτ᾽ ὀμφή,
i9.477† ῥεῖα λαθὼν φύλακάς τ᾽ ἄνδρας δμῳάς τε ⸢ἅπαντας⸣.
i10.181†* οὐδὲ ⸢γὰρ⸣ εὕδοντες φυλάκων ἡγήτορες ⸢ἔσσαν⸣,
i10.182 ἀλλ᾽ ἐγρηγορτὶ σὺν τεύχεσιν εἵατο πάντες.
i10.183 ὡς δὲ κύνες περὶ μῆλα δυσωρήσωνται ἐν αὐλῇ
i10.184 θηρὸς ἀκούσαντες κρατερόφρονος, ὅς τε καθ᾽ ὕλην
i10.185 ἔρχηται δι᾽ ὄρεσφι· πολὺς δ᾽ ὀρυμαγδὸς ἐπ᾽ αὐτῷ
i10.186 ἀνδρῶν ἠδὲ κυνῶν, ἀπὸ τέ σφισιν ὕπνος ὄλωλεν.
i10.187 ὣς τῶν νήδυμος ὕπνος ἀπὸ βλεφάροιιν ὀλώλει.
o22.446† αἱ δὲ γυναῖκες ⸢τόφρα⸣ ἀολλέες ἦλθον ἅπασαι.
o22.447 αἰν᾽ ὀλοφυρόμεναι, θαλερὸν κατὰ δάκρυ χέουσαι·
o9.74@ ἔνθα δύω νύκτας δύο τ᾽ ἤματα ⸢συννεχὲς⸣ αἰεὶ
*i16.414** κάππεσεν. ἀμφὶ δέ οἱ θάνατος χύτο θυμοραϊστής.

2142 δυσηχέος 2153 γυναῖκας 2154 μὲν ... εὗρον 2161 τόφρα deest Hom : ὡς ἔφαθ᾽ [αἵ 2163 συνεχὲς

κλαῖον δὲ λιγέως, ἀδινώτερον ἤ τ' οἰωνοὶ o16.216
φῆναι ἢ αἰγυπιοὶ γαμψώνυχες, οἷσί τε τέκνα o16.217
ἀγρόται ἐξείλοντο πάρος πετεηνὰ γενέσθαι· o16.218
ὣς ἄρα τοί γ' ἐλεεινὸν ὑπ' ὀφρύσι δάκρυον εἶβον. o16.219
μήτηρ θ' ἥ μιν ἔτικτε καὶ ἔτρεφε τυτθὸν ἐόντα, o23.325 *
κλαῖε μόρον οὗ παιδὸς ἀμύμονος, ὅς οἱ ἔμελλε i24.85
αὖτις ἀναστήσεσθαι ὑπὸ ζόφου ἠερόεντος. i21.56 *
παιδὸς γάρ οἱ ἄλαστον ἐνὶ φρεσὶ πένθος ἔκειτο. o24.423
⌜κεῖτο δ' ἄναυδος⌝ ἄπαστος ἐδητύος ἠδὲ ποτῆτος, o4.788@
ὁρμαίνουσ' ἤ οἱ θάνατον φύγοι υἱὸς ἀμύμων. o4.789
τῇ δ' ἐλεεινοτάτῳ ἄχεϊ φθινύθεσκον παρειαί. o8.530 *
καί ῥ' ἀπομόρξατο χερσὶ παρειὰς φώνησέν τε, o18.200
"ὤ μοι, τέκνον ἐμόν, τί νύ σ' ἔτρεφον αἰνὰ τεκοῦσα; i1.414
⌜ὤ μοι⌝, ἐγὼ πανάποτμος, ἐπεὶ τέκον υἷα ἄριστον." *i24.493* * †
ὡς δὲ χιὼν κατατήκετ' ⌜ἐπ'⌝ ἀκροπόλοισιν ὄρεσσιν, o19.205 †
ἥν τ' Εὖρος κατέτηξεν, ἐπὴν Ζέφυρος καταχεύῃ o19.206
τηκομένης δ' ἄρα τῆς ποταμοὶ πλήθουσι ῥέοντες, o19.207
ὣς τῆς τήκετο καλὰ παρήϊα δάκρυ χεούσης. o19.208
σμερδαλέον δὲ μέγ' ᾤμωξεν, περὶ δ' ἴαχε πέτρη. o9.395
⌜ὁρμήσας δ' ἄρα οἱ⌝ παρ' ἑταίρων ἄγγελος ὠκὺς o16.468 †
χερσὶ ψηλαφόων, ἀπὸ μὲν λίθον εἷλε θυράων. o9.416
τόν ῥα περιστρέψας ἧκε στιβαρῆς ἀπὸ χειρός. o8.189
αὖτις ἔπειτα πέδονδε κυλίνδετο λᾶας ἀναιδής. o11.598
βόμβησεν δὲ λίθος· κατὰ δ' ἔπτηξεν ποτὶ γαίῃ. o8.190
αὐτὸς δ' εἰνὶ θύρῃσι καθέζετο χεῖρε πετάσσας o9.417
κάλλεϊ καὶ χάρισι στίλβων· θηεῖτο δὲ κούρη. o6.237
ὥς τε γὰρ ἠελίου ⌜πέλεν αἴγλη⌝ ἠδὲ σελήνης, o7.84 †
ἢ πυρὸς αἰθομένοιο ⌜καὶ⌝ ἠελίου ἀνιόντος. i22.135 †
φωνῇ τε βροτέῃ κατερήτυε φώνησέν τε, o19.545
"εἰπὲ δ' ὅ τι κλαίεις καὶ ὀδύρεαι ἔνδοθι θυμῷ, o8.577

**2173** κεῖτ' ἄρ' ἄσιτος **2178** αὐτὰρ **2179** ἐν **2184** ὠμήρησε δέ μοι παρ' **2191** ἄγλη πέλεν ἠε **2192** ἤ

i24.105 πένθος ἄλαστον ἔχουσα μετὰ φρεσίν. οἶδα καὶ αὐτὸς
o18.113 ὅττι μάλιστ' ἐθέλεις καί τοι φίλον ἔπλετο θυμῷ.
o4.801 * ⌜παύσεο δὴ⌝ κλαυθμοῖο γόοιό τε δακρυόεντος,
o4.749 ὡς ἂν μὴ κλαίουσα κατὰ χρόα καλὸν ἰάπτῃς.
i19.220 τώ τοι ἐπιτλήτω κραδίη μύθοισιν ἐμοῖσιν.
o19.263 μηκέτι νῦν χρόα καλὸν ἐναίρεο μηδέ τι θυμόν.
o4.825 θάρσει, μηδέ τι πάγχυ μετὰ φρεσὶ δείδιθι λίην·
o4.826 * τοῖος γάρ σοι ποτμὸς ἅμ' ἔρχεται, ὅν τε καὶ ἄλλοι
o4.827 ἀνέρες ἠρήσαντο παρεστάμεναι, δύναται γάρ.
o20.233 @ σοῖσιν δ' ὀφθαλμοῖσιν ⌜ἐσόψεαι⌝, αἴ κ' ἐθέλῃσθα.
*o19.236* ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσί βάλλεο σῇσιν·
o19.300 ὣς ὁ μὲν οὕτως ἐστὶ σόος καὶ ἐλεύσεται ἤδη
o20.35 † ⌜σὸς⌝ πάϊς, οἷόν πού τις ἐέλδεται ἔμμεναι υἷα
o19.301 ἄγχι μάλ', οὐδ' ἔτι τῆλε φίλων καὶ πατρίδος αἴης.
o19.305 ἦ μέν τοι τάδε πάντα τελείεται ὡς ἀγορεύω.
o17.7 * ὄψεαι· οὐ γάρ σε πρόσθεν παύσεσθαι ὀΐω
o17.8 κλαυθμοῦ τε στυγεροιὸ γόοιό τε δακρυόεντος,
o17.9 @ * πρίν γ' αὐτόν ⌜κ'⌝ ἐσίδηαι. ἀτὰρ σοί γ' ὧδ' ἐπιτέλλω.
o16.270 ἀλλὰ σὺ μὲν νῦν ἔρχευ ἅμ' ἠοῖ φαινομένηφιν
o16.271 οἴκαδε, καὶ μνηστῆρσιν ὑπερφιάλοισιν ὁμίλει.
o16.267 * οὐ μέν τοι κεῖνός γε πολύν χρόνον ἀμφὶς ἔσοιτο."
o4.758 ὣς φάτο, τῆς δ' εὔνησε γόον, σχέθε δ' ὄσσε γόοιο.
o19.252 καὶ τότε μιν μύθοισιν ἀμειβομένη προσέειπε,
o16.31 @ † * "ἔσσεται ⌜οὕτω⌝, ⌜φίλε⌝· ἔθεν δ' ἕνεκ' ἐνθάδ' ἱκάνω,
o16.32 * ὄφρα ἕ τ' ὀφθαλμοῖσιν ἴδω καὶ μῦθον ἀκούσω.
o19.312 ἀλλά μοι ὧδ' ἀνὰ θυμὸν ὀΐεται, ὡς ἔσεταί περ.
o7.234 ἔγνω γὰρ φᾶρός τε χιτῶνά τε εἵματ' ἰδούσα."
o21.354 ἡ μὲν θαμβήσασα πάλιν οἶκόνδε βεβήκει
o17.590 † μνηστήρων ⌜μεθ'⌝ ὅμιλον, ἐπεὶ διεπέφραδε πάντα
i6.496 ἐντροπαλιζομένη, θαλερὸν κατὰ δάκρυ χέουσα.

2197 παύσειε 2204 ἐπόψεαι 2207 καὶ 2212 μ' 2218 οὕτως, ἄττα 2223 ἐς

παιδὸς γὰρ μῦθον πεπνυμένον ἔνθετο θυμῷ. o 21.355
καί ῥα ἑκάστῳ φωτὶ παρισταμένη φάτο μῦθον. o 2.384
ὄσσα δ' ἄρ' ἄγγελος ὦκα κατὰ πτόλιν ᾤχετο πάντῃ. o 24.413
οἱ δὲ βοῆς ἀΐοντες ἐφοί των ἄλλοθεν ἄλλος, o 9.401
οἱ μὲν χωόμενοι, οἱ δ' αὖ μέγα κυδιόωντες· i 21.519
οἱ δ' ἄρα θαμβήσαντες ἰθὺς κίον, ὡς δ' ἐσίδοντο. o 24.101 *
ἀθρόοι ἠγερέθοντο πρὸ ἄστεος εὐρυχόροιο. o 24.468
δὴν δ' ἄνεῳ καὶ ἄναυδοι ἐφέστασαν ἀλλήλοιϊν. cf. *i 9.30* + 13.133 *
  ὧδε δέ τις εἴπεσκεν ἰδὼν ἐς πλησίον ἄλλον, o 21.396
"ὦ φίλοι, οὐ μέν πω τι πάρος τοιοῦτον ἐτύχθη. o 18.36
ὢ πόποι, ἦ μέγα θαῦμα τόδ' ὀφταλμοῖσιν ὁρῶμαι i 13.99
δεινόν, ὃ οὔ ποτ' ἔγωγε τελευτήσεσθαι ἔφασκον. i 13.100
⸢ὅδε δὴ⸣ αὖτ' ἐξαῦτίς ⸢περ⸣ ἀνέστη κῆρας ἀλύξας. *i 15.287* †
κεῖνος ⸢θ' ὣς⸣ ἀγόρευε· τὰ δὴ νῦν πάντα τελεῖται." i 2.330 @
αὐτὰρ ὁ θυμὸν ἔχων ὃν καρτερόν, ὡς τὸ πάρος περ, i 5.806
ὃς πᾶσι θνητοῖσι καὶ ἀθανάτοισιν ἀνάσσει, i 12.242
ἤϊεν. αἰπὺ δ' ὄρος προσέβη καταειμένον ὕλῃ, o 19.431 *
ἐν περιφαινομένῳ. δοιοὺς δ' ἄρ' ὑπήλυθε θάμνους o 5.476
ἐξ ὁμόθεν πεφυῶτας· ὁ μὲν φυλίης, ὁ δ' ἐλαίης. o 5.477
ἔνθ' ἀναβὰς, ὅθι τε ⸢δρύος⸣ ἦν πολυανθέος ὕλης, o 14.353 @
⸢ἔστη⸣. πολλὰ δέ οἱ κραδίη πόρφυρε κιόντι. *o 4.427* †
ἀλλὰ καὶ ὣς ἀνέμιμνε, σάω δ' ἐρίηρας ἑταίρους. i 16.363
οἱ δ' ἐλελίχθησαν καὶ ἐναντίοι ἔσταν ⸢ἅπαντες⸣. i 5.497 †
⸢αὐτὰρ ἐπεί ῥ'⸣ ἤγερθεν ὁμηγερέες τ' ἐγένοντο i 1.57 †
γήθησαν, καὶ πᾶσιν ἐνὶ φρεσὶ θυμὸς ἰάνθη, o 15.165
ὡς εἶδον ζωόν τε καὶ ἀρτεμέα προσιόντα. i 5.515
αὐτὰρ ἐπεὶ τάρπησαν ἐς ἀλλήλους ὁρόωντες, i 24.633
δεικανόωντ' ἐπέεσσι καὶ ἐν χείρεσσι φύοντο. o 24.410
καὶ κύνεον ἀγαπαζόμενοι κεφαλήν τε καὶ ὤμους. *o 17.35* *
τοῖσι δὲ καὶ μετέειπε θεοκλύμενος θεοειδής, o 20.350

2229 αὖ om. Hom codd. 2237 οἷον δ' : περ deest Hom 2238 τὼς 2244 δρίος 2245 ἤια 2247 Ἀχαιῶν 2248 οἱ δ' ἐπεὶ οὖν

i24.460† “ὦ ˹τέκον˺, ἤτοι ἐγὼ θεὸς ἄμβροτος εἰλήλουθα.
o24.379 * τοῖος ἐών τοι χθιζὸς ἐν ὑμετέροισι δόμοισι
i4.267 ἔσσομαι, ὡς τὸ πρῶτον ὑπέστην καὶ κατένευσα.
o23.54 νῦν ἤδη τόδε μακρὸν ἐέλδωρ ἐκτετέλεσται.
o16.205@ ἀλλ’ ὅδ’ ἐγὼ τοιόσδε, παθὼν κακά, πολλὰ ˹δ’ ἀνατλάς˺,
i6.446 ἀρνύμενος πατρός τε μέγα κλέος ἠδ’ ἐμὸν αὐτοῦ,
o11.94 * ἤλυθον, ὄφρα ἴδω νέκυας καὶ ἀτερπέα χῶρον.
i9.649 ἀλλ’ ὑμεῖς ἔρχεσθε καὶ ἀγγελίην ἀπόφασθε
o12.207 * μειλιχίοις ἐπέεσσι παρασταδὸν ἀνδρὶ ἑκάστῳ.
i15.234 κεῖθεν δ’ αὐτὸς ἐγὼ φράσομαι ἔργον τε ἔπος τε.”
i13.17 αὐτίκα δ’ ἐξ ὄρεος κατεβήσετο παιπαλόεντος.
i11.685 κήρυκες δὲ λίγαινον ἅμ’ ἠοῖ φαινομένηφι
i3.151 ἐσθλοί, τεττίγεσσιν ἐοικότες, οἵ τε καθ’ ὕλην
i3.152 δενδρέῳ ἐφεζόμενοι ὄπα λειριόεσσαν ἱεῖσι.

*περὶ τῆς τοῦ Θωμᾶ ψηλαφήσεως*

o1.126† οἱ δ’ ὅτε δή ῥ’ ἔντοσθε ˹δόμου ἔσαν˺ ὑψηλοῖο
o5.227 * † τερπόμενοι φιλότητι παρ’ ἀλλήλοισι ˹κάθηντο˺.
o13.2 κηληθμῷ δ’ ἔσχοντο κατὰ μέγαρα σκιόεντα.
o19.30 * κλήϊσαν δὲ θύρας μεγάρων εὖ ναιεταόντων.
o2.344 κληϊσταὶ δ’ ἔπεσαν σανίδες πυκινῶς ἀραρυῖαι.
o5.228 ἦμος δ’ ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠώς,
o1.324 αὐτίκα δὴ μνηστῆρας ἐπῴχετο ἰσόθεος φώς.
*o15.271* * τοὺς δ’ αὖτε προσέειπε θεοκλύμενος θεοειδής,
o21.207 “ἔνδον μὲν δὴ ὅδ’ αὐτὸς ἐγώ, κακὰ πολλὰ μογήσας,
o21.209 γιγνώσκω δ’ ὡς σφῶϊν ἐελδομένοισιν ἱκάνω.”
i17.466† ˹καὶ τοτε˺ δή μιν ἑταῖρος ἀνὴρ ἴδεν ὀφθαλμοῖσιν.
*o4.117* μερμήριξε δ’ ἔπειτα κατὰ φρένα καὶ κατὰ θυμὸν
i24.632 εἰορόων ὄψίν τ’ ἀγαθὴν καὶ μῦθον ἀκούων,

2255 γέρον 2259 δ’ ἀληθείς 2269 ἔσαν δόμου 2270 μέ-νοντες 2279 ὀψὲ δὲ

ἢ πρῶτ' ἐξερέοιτο ἕκαστά τε ⌜μυθήσαιτο⌝. o4.119@
στῆ δὲ παρ' αὐτὸν ἰὼν καί μιν πρὸς μῦθον ἔειπε· i8.280
"ὦ φίλ', ἐπειδὴ ταῦτά μ' ἀνέμνησας καὶ ἔειπες· o3.211
πείθεις δή μευ θυμόν, ἀπηνέα περ μάλ' ἐόντα. *o23.230* *
ἐν μοίρῃ γὰρ πάντα διΐκεο καὶ κατέλεξας. i19.186
νῦν δ' ἐθέλω ἔπος ἄλλο μεταλλῆσαι καὶ ἐρέσθαι. o3.243
⌜ὦ φίλε⌝, ⌜εἰ⌝ καί μοι νεμεσήσεαι ὅττι κεν εἴπω; o1.158†@
σῆμά τί μοι νῦν ⌜δεῖξον⌝ ἀριφραδές, ὄφρα πεποίθω." o24.329†
τὸν δ' αὖτε προσέειπε θεοκλύμενος θεοειδής, *o15.271*
"ἦ μάλα τίς τοι θυμὸς ἐνὶ στήθεσσιν ἄπιστος. o14.391
ἀλλὰ σὺ μή μοι ταῦτα νόει φρεσί, μηδέ σε δαίμων i9.600
ἐνταῦθα τρέψειε, φίλος· κάκιον δέ κεν εἴη. i9.601
τοιγὰρ ἐγώ τοι, τέκνον, ἀληθέα πάντ' ἀγορεύσω. o3.254
ἦ τοι μὲν τόδε καὐτὸς ὀΐεαι, ὥς κεν ἐτύχθη. o3.255
ἀλλ' ἄγε δεῦρο, πέπον, παρ' ἔμ' ἵστασο καὶ ἴδε ἔργον, o22.233
ὄφρ' ⌜ἐῢ⌝ εἰδῇς οἷος ἐν ἀνδράσι δυσμενέεσσι. o22.234†
σφῶϊν δ', ὡς ἔσεταί περ, ἀληθείην καταλέξω· o21.212
εἰ δ' ἄγε δὴ καὶ σῆμα ἀριφραδὲς ἄλλο τι δείξω, o21.217
ὄφρά μ' ἐῢ γνῶτον πιστωθῆτόν τ' ἐνὶ θυμῷ. o21.218
σῆμα δέ τοι ἐρέω μάλ' ἀριφραδές· οὐδέ σε λήσει." i23.326
ὣς εἰπὼν ῥάκεα μεγάλης ἀποέργαθεν οὐλῆς. o21.221
δεξιτερῆς δ' ἕλε χειρὸς ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζεν· i7.108
"ουλὴν μὲν πρῶτον τήνδε φράσαι ὀφθαλμοῖσι, o24.331
ὄφρα γνῷς κατὰ θυμόν, ἀτὰρ εἴπῃσθα καὶ ἄλλῳ. o22.373
ὡς ἐπὶ σοὶ μάλα πόλλ' ἔπαθον καὶ πόλλ' ἐμόγησα i9.492
ὄφρά μ' ἐῢ φνῶτον πιστωθῆτόν τ' ἐνὶ θυμῷ." o21.218
ὣς φάτο, τῶν δ' ἄρα θυμὸν ἐνὶ στήθεσσιν ὄρινε. o17.150 *
οὐλὴν δ' ἀμφράσσαιτο καὶ ἀμφαδὰ ἔργα γένοιτο, o19.391
χειρῶν δ' ἁψάσθην· ὁ δὲ δακρύσας ἔπος ηὔδα· i10.377

2282 πειρήσαιτο 2283 Ἀντίνοον 2288 ξεῖνε φίλ' ... ἦ 2289 εἰπὲ 2297 ὄφρ' ἐῢ εἰδῇς οἷος ἐν Steph : ὄφρ' εἰδῇ' οἷός τοι Hom

o23.225† “νῦν ⌜γ’⌝, ἐπεὶ ἤδη σήματ’ ἀριφραδέα ⌜μοι ἔδειξας⌝
*o23.230* πείθεις δή μευ θυμόν, ἀπηνέα περ μάλ’ ἐόντα,
o24.379 τοῖος ἐών τοι χθιζὸς ἐν ἡμετέροισι δόμοισι,
o23.175 οὐδὲ λίην ἄγαμαι, μάλα δ’ εὖ οἶδ’ οἷος ἔησθα.
o23.213 αὐτὰρ μὴ νῦν μοι τόδε χώεο μηδὲ νεμέσσα,
o23.214† οὕνεκά σ’ οὐ τὸ πρῶτον ⌜ἰδὼν ἐγὼ ὧδ’ ἐπίθησα⌝.
o19.475 πρὶν δ’ ἔγνων, πρὶν πάντα ἄνακτ’ ἐμὸν ἀμφαφάασθαι.
o23.215 αἰεὶ γάρ μοι θυμὸς ἐνὶ στήθεσσι φίλοισιν
o23.216 ἐρρίγει μή τίς με βροτῶν ἀπάφοιτο ἔπεσσιν.”
cf. i13.708 ὣς ἄρα φωνήσαντες ἀπέστασαν ἀλλήλοιϊν.

*περὶ τῆς ἀναλήψεως*

i1.601† ⌜δὴ⌝ τότε μὲν πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα
i8.347 χεῖρας ἀνίσχοντες μεγάλ’ εὐχετόωντο ἕκαστος.
i23.226 ἦμος δ’ ἑωσφόρος εἶσι φόως ἐρέων ἐπὶ γαῖαν,
i23.227 ὅν τε μέτα κροκόπεπλος ὑπεὶρ ἅλα κίδναται ἠώς,
o10.97† ἔστη ⌜γε⌝ σκοπιὴν ἐς παιπαλόεσσαν ἀνελθών,
o10.98 ἔνθα μὲν οὔτε βοῶν οὔτ’ ἀνδρῶν φαίνετο ἔργα.
i5.497† οἱ δ’ ἐλελίχθησαν καὶ ἐναντίοι ἔσταν ⌜ἅπαντες⌝,
o23.325* μήτηρ θ’ ἥ μιν ἔτικτε καὶ ἔτρεφε τυτθὸν ἐόντα.
i1.57† ⌜αὐτὰρ ἐπεί ῥ’⌝ ἤγερθεν ὁμηγερέες τ’ ἐγένοντο,
*o15.271* τοὺς δ’ αὖτε προσέειπε θεοκλύμενος θεοειδής
i14.111† “⌜κλῦτε φίλοι⌝, καὶ μή τι ⌜θυμῷ⌝ ἀγάσησθε ἕκαστος,
o22.392 ὄφρα ἔπος εἴποιμι τό μοι καταθύμιόν ἐστιν.
i9.42† ⌜ἤδη νῦν μευ⌝ θυμὸς ἐπέσσυται ὥστε νέεσθαι
o3.2† οὐρανὸν ἐς πολύχαλκον, ἵν’ ἀθανάτοισι ⌜μετείην⌝.”
o16.342 μνηστῆρες δ’ ἀκάχοντο κατήφησάν τ’ ἐνὶ θυμῷ.

2311 δ’ ... κατέλεξας 2316 ἐπεὶ ἴδον, ὧδ’ ἀγάπησα 2321 ὥς 2325 δὲ 2327 Ἀχαιῶν 2329 οἱ δ’ ἐπεὶ οὖν 2331 πείσεσθαι ... κότῳ 2333 εἰ δέ τοι αὐτῷ 2334 φαείνοι 2338 νεφέεσσιν

ὣς εἰπὼν λίπεν αὐτόθ', ἐπεὶ διεπέφραδε πάντα. i 20.340
αὐτὸς δὲ πρὸς πατρὸς ἐρισθενέος πυκινὸν δῶ i 19.355 *
φαίνεθ' ὁμοῦ ⌜νεφέλῃσιν⌝ ἰὼν εἰς οὐρανὸν εὐρύν, i 5.867 †
ἄφθιτον ἀστερόεντα, μεταπρεπἔ ἀθανάτοισιν. i 18.370
αὐτόμαται δὲ πύλαι μύκον οὐρανοῦ, ἃς ἔχον Ὧραι· *i 5.749*
τῇς ἐπιτέτραπται μέγας οὐρανὸς ⌜ἀστερόεις⌝ τε, *i 5.750*†
ἠμὲν ἀνακλῖναι πυκινὸν νέφος ἠδ' ἐπιθεῖναι. *i 5.751*
βῆ δὲ ⌜θέων⌝, μάλα δ' ὦκα φίλον πατέρ' εἰσαφίκανεν. o 22.99 @
ἂψ δ' αὖτις κατ' ἂρ ἕζετ' ἐπὶ θρόνου, ἔνθεν ἀνέστη. o 21.139

2341 Οὐλυμπός 2343 θέειν